ARISTOTELIS

DE ANIMA LIBRI III.

RECOGNOVIT

GUILELMUS BIEHL.

EDITIO STEREOTYPA EMENDATIOR.

LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI.
MDCCCLXXXXVI.

LIPSIAE: TYPIS B. G. TEUBNERI.

Praefatio.

Aristotelis pretiosissimo libro *περὶ ψυχῆς* ut genuinam, quoad eius fieri posset, integritatem restituerem, has secutus rationes sum.

Primum omnium codici Parisino, inde a Bekkero littera E notato, etiam multo maiorem tribuendam esse auctoritatem existimavi, quam in editionibus Bekkeri Trendelenburgii Torstrikii factum erat. Itaque omnibus huius codicis collationibus, quae hucusque institutae sunt, maxima cum cura adhibitis non solum multo plures eius lectiones in textum recepi, sed etiam, exceptis manifestis librariorum mendis, totam lectionis discrepantiam in apparatu critico enotavi.

Reliquorum quoque codicum a Bekkero et Trendelenburgio collatorum lectiones diligentissime in meum usum converti, easque in iis locis, ubi quae scriptura recipienda esset aliqua dubitatio nasci potuit, accurate exscribere officii mei esse duxi. Sed si cui mirum esse videatur, quod eos non in familias, ut ita dicam, distinctos communi aliqua littera comprehendi, sed singulos separatim produxi, hanc ob causam id faciendum putavi, quod in dies magis intellexi, quamvis omnes codices praeter E et L ad unum archetypum revocandi atque exemplarium ex communi illo fonte derivatorum duae vel tres familiae distinguendae essent, hanc tamen affinitatem non eam esse, quae sine maxima obscuritate compendiis litterarum denotari posset. Quod recte a me iudicari unus quisque facile intelliget, qui apparatum criticum inspexerit, unde

futurum spero ut mea ratio criticae factitandae prudentibus et benevolis iudicibus probetur.

Fragmenta maiora a vulgata lectione recedentia, quae in codice E inveniuntur, calci editionis subicienda curavi ea forma, quam Belgerus in altera editione Trendelenburgiana exhibuit, servata, ut sibi quisque utroque textu comparato consensus et discrepantiae certam quasi imaginem mente conformare possit. Ita ipse iudicare quisque poterit, num recte Torstrikius ex hac duplici in codice E servata nonnullarum secundi libri partium forma collegerit, duplicem horum librorum recensionem ab ipso Aristotele esse profectam. Equidem mihi persuadere non possum Aristotelem, quo erat assiduo et impigro studio omnium rerum naturam ingenio suo complectendi et qui id potissimum spectaret, ut quae sensisset puris verbis exprimeret omnibus lenociniis orationis neglectis, operae pretium esse duxisse vel tempus et otium nactum esse, ut, quae de aliqua re invenisset et litteris iam mandasset, denuo per totos libros in aliam formam immutaret atque recoqueret. Nam res ipsas in fragmentis quae dixi immutatas nusquam invenies. Qua de causa haec fragmenta nihil aliud esse iudico quam reliquias paraphrasis anxie orationi et sententiis Aristotelis inhaerentis, nisi ea ab aliquo discipulo fluxisse dicas, qui ex ipso Aristotele, quum non de scripto sed ex memoria res exponeret, verba excepit. Quod autem Torstrikius opinatus est, nonnullis tertii libri locis hanc duplicem recensionem eo manifestam fieri, quod utriusque lectiones a librariis coniunctae atque, ut ita dicam, conglutinatae sint, id iam magnam partem a viris doctis egregie refutatum est, praesertim a Vahlenio (p. 430^a 27 sqq.) et Neuhaeusero (p. 425^a 21 sqq, 427^a 2 sqq., 427^a 11.), in aliis locis non ita difficulter refelli potest.

At multo plus scrupuli ea movent, quae Bonitzius in Hermae tom. VII p. 428 sqq. de primi libri compositione disseruit; ac re vera haud facile cuiquam persuaderi poterit, hunc librum ea qua nobis traditus est forma ab ipso Aristotele editum esse.

Praeter codices veteres paraphrases et commentarios uberrimum fontem textus restituendi esse dudum viri docti intellexerunt; quare ut omnia eorum testimonia proponerentur, ubicunque lectio incerta ac dubia esset, quid Alexander Aphrodisiensis, Themistius, Simplicius, Philoponus, Sophonias monachus legerint, quid in vetusta translatione latina inveniatur, indagare et exquirere studui. Testimonia ipsa omnia minuta cum diligentia et anxia religione iterum iterumque perlegi ac persaepe non sine magno fructu adhibui; magnopere autem dolendum est, multa aperta menda, id quod multis iisque gravissimis locis factum esse videmus, iam ante aetatem veterum commentatorum in verba philosophi irrepsisse.

Quae recens aetas ad emendandos et explanandos de anima libros praestitit, ea omnia, quantum potui, inspexi, ac spero me nihil praetermisisse; quod vero non omnia, quae proposita sunt, recepi ac saepe ne annotavi quidem, sed ea tantum, quae probabilitatis aliqua specie commendarentur, in meum usum converti, neminem spero fore qui reprehendat. Ipse denique coniecturis reiecta auctoritate codicum veterumque commentatorum raro orationem philosophi tentavi ac tum demum ea tentamenta in contextu verborum posui, ubi vel necessaria vel maxime probabilia esse confiderem. Vindobonae 1883.

In recognoscenda hac editione et vitia typothetarum aliquot correxi et de lectionibus codicis E, quem post Stapferum ipse denuo excussi, accuratiora quaedam rettuli, nonnullas lectiones mutavi. 1896.

Explicantur sigla

quibus in apparatu critico usi sumus.

E, codex Parisiensis 1853.
L, „ Vaticanus 253.
S, „ Laurentianus 81.
T, „ Vaticanus 256.
U, „ Vaticanus 260.
V, „ Vaticanus 266.
W, „ Vaticanus 1026.
X, „ Ambrosianus *H* 50.
y, „ Parisiensis 2034.
m, „ Parisiensis 1921.
Ald., editio Aldina.
Basil., „ Basileensis tertia.
Sylb., „ Sylburgiana.
Bek., „ Bekkeri academica.
Trend., „ Trendelenburgii.
Torst., „ Torstrikii.
Bus., „ Bussemakeri (Didotiana).
Alex., Alexandri Aphrodisiensis *ἀπορίαι καὶ λύσεις*, ed. Spengel.
Them., Themistius, ed. Spengel.
Simpl., Simplicius, ed. Hayduck.
Philop., Philoponus, editio Veneta 1535.
Soph., Sophonias monachus, codex manuscriptus bibliothecae Caesareae Vindobonensis, Philol. 30. et ed. Hayduck.
vet. transl., vetusta translatio latina ex editione Iuntina Venet. 1550 et Thomae Aquinatis op. tom. XX, ed. Parmae 1866.

Nature of the Subject. Importance & difficulty. Method & presupposition.

[illegible]

formal [illegible]

dynamic or static [illegible]

[illegible]

[illegible] l'essentiel de l'essence

[illegible] aucune partie.

ΠΕΡΙ ΨΥΧΗΣ Α.

Τῶν καλῶν καὶ τιμίων τὴν εἴδησιν ὑπολαμβάνοντες, μᾶλ- 402 a
λον δ' ἑτέραν ἑτέρας ἢ κατ' ἀκρίβειαν ἢ τῷ βελτιόνων τε καὶ θαυμασιωτέρων εἶναι, δι' ἀμφότερα ταῦτα τὴν περὶ τῆς ψυχῆς ἱστορίαν εὐλόγως ἂν ἐν πρώτοις τιθείημεν. δοκεῖ δὲ καὶ πρὸς ἀλήθειαν ἅπασαν ἡ γνῶσις αὐτῆς μεγάλα συμβάλλεσθαι, μάλιστα δὲ πρὸς τὴν φύσιν· ἔστι γὰρ οἷον ἀρχὴ τῶν ζῴων. ἐπιζητοῦμεν δὲ θεωρῆσαι καὶ γνῶναι τήν τε φύσιν αὐτῆς καὶ τὴν οὐσίαν, εἶθ' ὅσα συμβέβηκε περὶ αὐτήν· ὧν τὰ μὲν ἴδια πάθη τῆς ψυχῆς εἶναι δοκεῖ, τὰ δὲ δι' ἐκείνην καὶ τοῖς ζῴοις ὑπάρχειν. πάντῃ δὲ πάντως ἐστὶ τῶν χαλεπωτάτων λαβεῖν τινὰ πίστιν περὶ αὐτῆς. καὶ γὰρ ὄντος κοινοῦ τοῦ ζητήματος πολλοῖς ἑτέροις, λέγω δὲ τοῦ περὶ τὴν οὐσίαν καὶ τὸ τί ἐστι, τάχ' ἂν τῳ δόξειε μία τις εἶναι μέθοδος κατὰ πάντων περὶ ὧν βουλόμεθα γνῶναι τὴν οὐσίαν, ὥσπερ καὶ τῶν κατὰ συμβεβηκὸς ἰδίων ἀπόδειξις,

Codices ESTUVWXy et libro tertio L.

1. μᾶλλον .... 3. εἶναι Alexander Philopono teste spuria notabat ‖ 2. τε om. E Torst., legerunt Philop. Soph. ‖ 3. ταῦτα om. E Torst., leg. Philop. Soph. et, ut videtur, Them. ‖ περὶ om. STUWX Bek. Trend., add. Soph. Torst. ‖ τῆς om. Vy Soph. ‖ 9. κοινὰ pro δι' ἐκείνην y, τὰ δὲ κοινὰ καὶ τοῖς ζῴοις δι' ἐκείνην U, receptum textum tuentur Them. Soph. ‖ 10. δὲ καὶ πάντως STUVWy, πάντῃ δὲ πάντως etiam Philop. ‖ 12. καὶ πολλοῖς STUVW Torst. ‖ 13. τὸ] τοῦ SVWX Philop. Bek. Trend., τὰ TU ‖ 15. ἀπόδειξιν SUWX Bek., ἡ ἀπόδειξις T, ἀπόδειξις etiam Soph.

ὥστε ζητητέον ἂν εἴη τὴν μέθοδον ταύτην. εἰ δὲ μή ἐστι μία τις καὶ κοινὴ μέθοδος περὶ τὸ τί ἐστιν, ἔτι χαλεπώτερον γίνεται τὸ πραγματευθῆναι· δεήσει γὰρ λαβεῖν περὶ ἕκαστον τίς ὁ τρόπος. ἐὰν δὲ φανερὸν ῃ, πότερον ἀπόδειξίς ἐστιν ἢ διαίρεσις ἤ καί τις ἄλλη μέθοδος, ἔτι πολλὰς ἀπορίας ἔχει καὶ πλάνας, ἐκ τίνων δεῖ ζητεῖν· ἄλλαι γὰρ ἄλλων ἀρχαί, καθάπερ ἀριθμῶν καὶ ἐπιπέδων.

πρῶτον δ' ἴσως ἀναγκαῖον διελεῖν ἐν τίνι τῶν γενῶν καὶ τί ἐστι, λέγω δὲ πότερον τόδε τι καὶ οὐσία ἢ ποιὸν ἢ ποσὸν ἤ καί τις ἄλλη τῶν διαιρεθεισῶν κατηγοριῶν, ἔτι δὲ πότερον τῶν ἐν δυνάμει ὄντων ἢ μᾶλλον ἐντελέχειά τις· διαφέρει γὰρ οὔ τι σμικρόν. σκεπτέον δὲ καὶ εἰ μεριστὴ ἢ ἀμερής, καὶ πότερον ὁμοειδὴς ἅπασα ψυχὴ ἢ οὔ· εἰ δὲ μὴ ὁμοειδής, πότερον εἴδει διαφέρουσιν ἢ γένει. νῦν μὲν γὰρ οἱ λέγοντες καὶ ζητοῦντες περὶ ψυχῆς περὶ τῆς ἀνθρωπίνης μόνης ἐοίκασιν ἐπισκοπεῖν. εὐλαβητέον δ' ὅπως μὴ λανθάνῃ πότερον εἷς ὁ λόγος αὐτῆς ἐστί, καθάπερ ζῴου, ἢ καθ' ἑκάστην ἕτερος, οἷον ἵππου, κυνός, ἀνθρώπου, θεοῦ, τὸ δὲ ζῷον τὸ καθόλου ἤτοι οὐθέν ἐστιν ἢ ὕστερον· ὁμοίως δὲ κἂν εἴ τι κοινὸν ἄλλο κατηγοροῖτο· ἔτι δ' εἰ μὴ πολλαὶ ψυχαὶ ἀλλὰ μόρια, πότερον δεῖ ζητεῖν πρότερον τὴν ὅλην ψυχὴν ἢ τὰ μόρια. χαλεπὸν δὲ καὶ τούτων διορίσαι ποῖα πέφυκεν ἕτερα ἀλλήλων, καὶ πότερον

17. *καὶ κοινή τις* UWXy ‖ *τὸ*] *τοῦ* STUWX ‖ 19. post *τρόπος* virgulam Bek. ‖ *ὅταν* SUW, *εἰ* V, *ἐὰν* etiam Simpl. p. 10, 4 ‖ *ἀπόδειξίς τις* SUy ‖ 20. post *μέθοδος* punctum Bek. ‖ *ἔτι δὲ πολλὰς* TUVW Bek., *δὲ* om. etiam Soph. ‖ 26. *μᾶλλον*] *μόνον* E (Trend.), *μᾶλλον* tuentur Them. Philop. Simpl. Soph. ‖ *τι* om. SVWXy, legit. Soph. ‖ 402 b, 2. *ὁμοιοειδὴς* utrobique TUVWX, *ὁμοειδὴς* tuentur Them. Philop. Simpl. ‖ 4 *μόνον* y Torst., *μόνης* corr. E et reliqui, etiam Them. Philop. Soph. ‖ 6. *ἑκάστην* pr. E Torst., *ἕτερον* Vy, *ἕκαστον* reliqui, etiam Philop. in prooemio ad lib. II. ‖ 7. *δὲ*] *γὰρ* V, Alex. *ἀπ. καὶ λυ.* (ed. Spengel.) p. 45, 7. 46, 9. 49, 27, etiam Soph. ‖ 8. *κατηγορῆται* E, sed *η* in rasura (Trend.), *κατηγορεῖται* Torst., *κατηγοροῖτο* reliqui, etiam Simpl. Alex. p. 49, 1.

The various points of view for starting on the enquiry.

B. 3. 414b20.

Relation of body & soul. Subject of physical science.

τὰ μόρια χρὴ ζητεῖν πρότερον ἢ τὰ ἔργα αὐτῶν, οἷον τὸ νοεῖν ἢ τὸν νοῦν καὶ τὸ αἰσθάνεσθαι ἢ τὸ αἰσθητικόν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. εἰ δὲ τὰ ἔργα πρότερον, πάλιν ἄν τις ἀπορήσειεν εἰ τὰ ἀντικείμενα πρότερα τούτων ζητητέον, οἷον τὸ αἰσθητὸν τοῦ αἰσθητικοῦ καὶ τὸ νοητὸν τοῦ νοῦ. ἔοικε δ' οὐ μόνον τὸ τί ἐστι γνῶναι χρήσιμον εἶναι πρὸς τὸ θεωρῆσαι τὰς αἰτίας τῶν συμβεβηκότων ταῖς οὐσίαις, ὥσπερ ἐν τοῖς μαθήμασι τί τὸ εὐθὺ καὶ καμπύλον ἢ τί γραμμὴ καὶ ἐπίπεδον πρὸς τὸ κατιδεῖν πόσαις ὀρθαῖς αἱ τοῦ τριγώνου γωνίαι ἴσαι, ἀλλὰ καὶ ἀνάπαλιν τὰ συμβεβηκότα συμβάλλεται μέγα μέρος πρὸς τὸ εἰδέναι τὸ τί ἐστιν· ἐπειδὰν γὰρ ἔχωμεν ἀποδιδόναι κατὰ τὴν φαντασίαν περὶ τῶν συμβεβηκότων, ἢ πάντων ἢ τῶν πλείστων, τότε καὶ περὶ τῆς οὐσίας ἕξομέν τι λέγειν κάλλιστα· πάσης γὰρ ἀποδείξεως ἀρχὴ τὸ τί ἐστιν, ὥστε καθ' ὅσους τῶν ὁρισμῶν μὴ συμβαίνει τὰ συμβεβηκότα γνωρίζειν, ἀλλὰ μηδ' εἰκάσαι περὶ αὐτῶν εὐμαρές, δῆλον ὅτι διαλεκτικῶς εἴρηνται καὶ κενῶς ἅπαντες.

ἀπορίαν δ' ἔχει καὶ τὰ πάθη τῆς ψυχῆς, πότερόν ἐστι πάντα κοινὰ καὶ τοῦ ἔχοντος ἢ ἐστί τι καὶ τῆς ψυχῆς ἴδιον αὐτῆς· τοῦτο γὰρ λαβεῖν μὲν ἀναγκαῖον, οὐ ῥᾴδιον δέ. φαίνεται δὲ τῶν μὲν πλείστων οὐθὲν ἄνευ τοῦ σώματος πάσχειν οὐδὲ ποιεῖν, οἷον ὀργίζεσθαι, θαρρεῖν, ἐπιθυμεῖν, ὅλως αἰσθάνεσθαι. μάλιστα δ' ἔοικεν ἴδιον τὸ νοεῖν· εἰ δ' ἐστὶ καὶ τοῦτο φαντασία

12. *δεῖ* UWX ‖ 15. *πρότερον* TUVWX Philop. Soph. Bek. Trend. ‖ 16. *νοῦ* EVX, *νοητοῦ* S, *νοητικοῦ* reliqui et scripti et impressi, etiam Philop., pro *αἰσθητικοῦ* et *νοητικοῦ* legi vult *αἰσθάνεσθαι* et *νοεῖν* Belger, Hermes 1878 p. 302 ‖ 19. *καὶ τί τὸ κ.* SUWy, *καὶ τί κ.* TX ‖ 22. *εἰγῆσαι* STUWXy, *εἰδήσειν* V ‖ 25. *τι λέγειν* TUV, *τι* insert. E_2 Simpl. ‖ *ὅτι κάλλιστα* TUXy, *τι κάλλιον* W, *κάλλιστα* etiam Simpl. Philop. ‖ *γὰρ* tuentur praeter omnes codd. Philop. Alex. apud. Philop. Simpl. ‖ 403a, 6. *δὲ* om. E ‖ *τῶν μὲν* EXy Philop. Soph. Torst., *μὲν* om. reliqui ‖ *ἄνευ τοῦ σώμ.* E Philop. Soph. Torst., *τοῦ* om. reliqui ‖ 8. *ἰδίῳ* SWXy, *ἴδιον* etiam E, sed *ον* in ras., *ω* superscr. (Bhl.) Simpl. Philop. Trend. ed. pr., *ἴδιον* etiam Them. Soph.

τις ἢ μὴ ἄνευ φαντασίας, οὐκ ἐνδέχοιτ' ἂν οὐδὲ τοῦτ' ἄνευ σώματος εἶναι. εἰ μὲν οὖν ἐστί τι τῶν τῆς ψυχῆς ἔργων ἢ παθημάτων ἴδιον, ἐνδέχοιτ' ἂν αὐτὴν χωρίζεσθαι· εἰ δὲ μηθέν ἐστιν ἴδιον αὐτῆς, οὐκ ἂν εἴη χωριστή, ἀλλὰ καθάπερ τῷ εὐθεῖ, ᾗ εὐθύ, πολλὰ συμβαίνει, οἷον ἅπτεσθαι τῆς χαλκῆς σφαίρας κατὰ στιγμήν, οὐ μέντοι γ' ἅψεται οὕτω χωρισθὲν τὸ εὐθύ· ἀχώριστον γάρ, εἴπερ ἀεὶ μετὰ σώματός τινός ἐστιν. ἔοικε δὲ καὶ τὰ τῆς ψυχῆς πάθη πάντα εἶναι μετὰ σώματος, θυμός, πραότης, φόβος, ἔλεος, θάρσος, ἔτι χαρὰ καὶ τὸ φιλεῖν τε καὶ μισεῖν· ἅμα γὰρ τούτοις πάσχει τι τὸ σῶμα. σημεῖον δὲ τὸ ποτὲ μὲν ἰσχυρῶν καὶ ἐναργῶν παθημάτων συμβαινόντων μηδὲν παροξύνεσθαι ἢ φοβεῖσθαι, ἐνίοτε δ' ὑπὸ μικρῶν καὶ ἀμαυρῶν κινεῖσθαι, ὅταν ὀργᾷ τὸ σῶμα καὶ οὕτως ἔχῃ ὥσπερ ὅταν ὀργίζηται. ἔτι δὲ τοῦτο μᾶλλον φανερόν· μηθενὸς γὰρ φοβεροῦ συμβαίνοντος ἐν τοῖς πάθεσι γίνονται τοῖς τοῦ φοβουμένου. εἰ δ' οὕτως ἔχει, δῆλον ὅτι τὰ πάθη λόγοι ἔνυλοί εἰσιν. ὥστε οἱ ὅροι τοιοῦτοι οἷον τὸ ὀργίζεσθαι κίνησίς τις τοῦ τοιουδὶ σώματος ἢ μέρους ἢ δυνάμεως ὑπὸ τοῦδε ἕνεκα τοῦδε. καὶ διὰ ταῦτα ἤδη φυσικοῦ τὸ θεωρῆσαι περὶ ψυχῆς, ἢ πάσης ἢ τῆς τοιαύτης. διαφερόντως δ' ἂν ὁρίσαιντο φυσικός τε καὶ διαλεκτικὸς

9. *ἄνευ τοῦ σώμ.* Wy et, ut videtur, Philop., *τοῦ* om. etiam Them. Simpl. Soph. || 13. *ᾗ εὐθεῖ* W et E_2, *ᾗ εὐθύ* E_1 (Stapf.) || 14. *οὕτω* solus E et Bonitz (Hermes VII, 417), reliqui *τούτου*, etiam Philop. Simpl. || 18. *καὶ τὸ μισεῖν* SWX || *γὰρ* et 19. *τι* om. E, leg. Soph. || *ἅμα . . .* 19. *σῶμα* unc. incl. Torst., tuentur haec verba praeter codd. Simpl. Philop. Soph. || 19. *σημεῖον* E Torst., *μηνύει* reliqui, etiam Them. Soph. || *μὲν ὑπὸ ἰσχ.* TUVWX Soph. || 21. *δ'*] *δὲ καὶ* UVW, om. *καὶ* etiam Them. Soph. || *ἐὰν* STVWX Soph., *ὅταν* etiam Simpl. || 23. *μᾶλλον τοῦτο* STVWXy, *τούτου μᾶλλον* coni. Torst., *τούτῳ* coni. Christ || 25. *ὅτι καὶ τὰ* UVy || *ἐν ὕλῃ* ET, *ἔνυλοι* etiam Them. Philop. Soph. || 26. *κίνησιν* E, *κίνησις* etiam Simpl. Philop. Soph. || *τις* om. ES Soph., *τις* leg. etiam Simpl. Philop. || 27. *ἤδη*] *δὴ* STVWy, om. X || 29. *ὁρίσαιτο φ.* V, *ὁρίσαιτο ὁ φ.* STUWXy Soph. || *καὶ ὁ διαλεκτικὸς* Wy, *ὁ* om. etiam Soph.

Relation to other sciences.

ἕκαστον αὐτῶν, οἷον ὀργὴ τί ἐστιν· ὁ μὲν γὰρ ὄρεξιν ἀντιλυπήσεως ἤ τι τοιοῦτον, ὁ δὲ ζέσιν τοῦ περὶ καρδίαν αἵματος ἢ θερμοῦ. τούτων δὲ ὁ μὲν τὴν ὕλην ἀποδίδωσιν, ὁ δὲ τὸ 403b εἶδος καὶ τὸν λόγον. ὁ μὲν γὰρ λόγος εἶδος τοῦ πράγματος, ἀνάγκη δ' εἶναι τοῦτον ἐν ὕλῃ τοιαδί, εἰ ἔσται· ὥσπερ οἰκίας ὁ μὲν λόγος τοιοῦτος, ὅτι σκέπασμα κωλυτικὸν φθορᾶς ὑπ' ἀνέμων καὶ ὄμβρων καὶ καυμάτων, ὁ δὲ φήσει λίθους καὶ πλίνθους καὶ ξύλα, ἕτερος δ' ἐν τούτοις τὸ εἶδος ἕνεκα τωνδί. τίς οὖν ὁ φυσικὸς τούτων; πότερον ὁ περὶ τὴν ὕλην, τὸν δὲ λόγον ἀγνοῶν, ἢ ὁ περὶ τὸν λόγον μόνον; ἢ μᾶλλον ὁ ἐξ ἀμφοῖν. ἐκείνων δὲ δὴ τίς ἑκάτερος; ἢ οὐκ ἔστι τις ὁ περὶ τὰ πάθη τῆς ὕλης τὰ μὴ χωριστά μηδ' ᾗ χωριστά, ἀλλ' ὁ φυσικὸς περὶ ἅπανθ' ὅσα τοῦ τοιουδὶ σώματος καὶ τῆς τοιαύτης ὕλης ἔργα καὶ πάθη· ὅσα δὲ μὴ ᾗ τοιαῦτα, ἄλλος, καὶ περὶ τινῶν μὲν τεχνίτης, ἐὰν τύχῃ, οἷον τέκτων ἢ ἰατρός, τῶν δὲ μὴ χωριστῶν μέν, ᾗ δὲ μὴ τοιούτου σώματος πάθη καὶ ἐξ ἀφαιρέσεως, ὁ μαθηματικός, ᾗ δὲ κεχωρισμένα, ὁ πρῶτος φιλόσοφος. ἀλλ' ἐπανιτέον ὅθεν ὁ λόγος. ἐλέγομεν δ' ὅτι τὰ πάθη τῆς ψυχῆς οὔτε ὡς χωριστὰ τῆς φυσικῆς ὕλης τῶν ζῴων, ᾗ δὴ τοιαῦθ' ὑπάρχει, θυμὸς καὶ φόβος, καὶ οὐχ ὥσπερ γραμμὴ καὶ ἐπίπεδον.

31. *τοιοῦτο* STUVW, *τοιοῦτον* etiam Soph. — verba *αἵματος καὶ* (vel *ἢ*) removenda esse censet Steinhart. progr. Port. 1843 403b, 1. *ἢ*] *καὶ* E Bek. Torst., *ἢ* etiam Philop. Soph. Trend. ‖ 2. *εἶδος τοῦ*] *ὅδε τοῦ* W, fortasse recte, *ὁ δὲ τοῦ* ESTVy Simpl. Philop. Plutarchus ap. Philop. ‖ 3. *ἐπὶ οἰκίας* Wy ‖ 4. *ὅτι*] *τις* S, *τις ὅτι* X, *ἂν εἴη* TW, *ἂν εἴη ὅτι* UV ‖ 5. *καυμάτων καὶ ὄμβρων* WX, *ὄμβρων καὶ πνευμάτων* E, textum tuentur etiam Them Philop. Soph. ‖ *φησι* SVXy ‖ 9. *δὴ* om. UV ‖ 11. *πάνθ'* T, *ἁπανθ'* etiam E, sed *α* eras. (Stapf.) ‖ *τοῦ* om. SUW ‖ 12. *ὅσα* E Philop. Torst., reliqui *ὁπόσα* ‖ *ἦν* E, sed *ν* expunct. (Zapf.), *ᾗ* Simpl. Bon. (Metaph. p. 284) Torst., reliqui *ᾗ* ‖ 13. *τινος* T, *τινα* UWy, *τινῶν* etiam Simpl. Philop. Soph. ‖ 15. *ὁ* om. E, leg. Soph. ‖ 17. *οὔτε ὡς χωριστὰ* scripsi ex solo E, huic *οὔτε* respondet 19. *καὶ οὐχ*, *χωριστὰ* TVX, *οὐ χωριστὰ* Soph. Torst., reliqui *ἀχώριστα*, etiam Them. Philop. Simpl. ‖ 18. *ᾗ δὴ*] *ᾗ γε* U Simpl., *εἴ γε* T, *ἢ* X, *ᾗ δὴ* etiam Philop.

2 Ἐπισκοποῦντας δὲ περὶ ψυχῆς ἀναγκαῖον ἅμα διαποροῦντας περὶ ὧν εὐπορεῖν δεῖ προελθόντας, τὰς τῶν προτέρων δόξας συμπαραλαμβάνειν ὅσοι τι περὶ αὐτῆς ἀπεφήναντο, ὅπως τὰ μὲν καλῶς εἰρημένα λάβωμεν, εἰ δέ τι μὴ καλῶς, τοῦτ' εὐλαβηθῶμεν. ἀρχὴ δὲ τῆς ζητήσεως προθέσθαι τὰ μάλιστα δοκοῦνθ' ὑπάρχειν αὐτῇ κατὰ φύσιν. τὸ ἔμψυχον δὴ τοῦ ἀψύχου δυοῖν μάλιστα διαφέρειν δοκεῖ, κινήσει τε καὶ τῷ αἰσθάνεσθαι. παρειλήφαμεν δὲ καὶ παρὰ τῶν προγενεστέρων σχεδὸν δύο ταῦτα περὶ ψυχῆς· φασὶ γὰρ ἔνιοι καὶ μάλιστα καὶ πρώτως ψυχὴν εἶναι τὸ κινοῦν. οἰηθέντες δὲ τὸ μὴ κινούμενον αὐτὸ μὴ ἐνδέχεσθαι κινεῖν ἕτερον, τῶν κινουμένων τι τὴν ψυχὴν ὑπέλαβον εἶναι. ὅθεν Δημόκριτος μὲν
404a πῦρ τι καὶ θερμόν φησιν αὐτὴν εἶναι· ἀπείρων γὰρ ὄντων σχημάτων καὶ ἀτόμων τὰ σφαιροειδῆ πῦρ καὶ ψυχὴν λέγει, οἷον ἐν τῷ ἀέρι τὰ καλούμενα ξύσματα, ἃ φαίνεται ἐν ταῖς διὰ τῶν θυρίδων ἀκτῖσιν, ὧν τὴν μὲν πανσπερμίαν τῆς ὅλης φύσεως στοιχεῖα λέγει· ὁμοίως δὲ καὶ Λεύκιππος· τούτων δὲ τὰ σφαιροειδῆ ψυχήν, διὰ τὸ μάλιστα διὰ παντὸς δύνασθαι διαδύνειν τοὺς τοιούτους ῥυσμοὺς καὶ κινεῖν τὰ λοιπὰ κινούμενα καὶ αὐτά, ὑπολαμβάνοντες τὴν ψυχὴν εἶναι τὸ παρέχον τοῖς ζῴοις τὴν κίνησιν. διὸ καὶ τοῦ ζῆν ὅρον εἶναι τὴν ἀναπνοήν· συνάγοντος γὰρ τοῦ περιέχοντος τὰ σώματα καὶ ἐκθλίβοντος τῶν σχημάτων τὰ παρέχοντα τοῖς ζῴοις τὴν κίνησιν διὰ τὸ μηδ' αὐτὰ ἠρεμεῖν μηδέποτε, βοήθειαν

21. *προδιελθόντας* S Philop. Soph., *διελθόντας* X et pr. T, ante *προελθόντας* virgulam ponunt Bek. Trend. ‖ 22. *συμπεριλαμβάνειν* TWX, *διαλαμβάνειν* V, *συμπαραλαμβάνειν* etiam Them. Philop. Soph. ‖ 26. *δυεῖν* E, *δυσὶ* SVWX ‖ 29. *πρῶτον* ET, *πρώτως* etiam Philop. Simpl. Soph. ‖ 30. *μηδ' ἐνδ.* Vy ‖ 31. *ψυχὴν οὕτως ὑπ.* Uy ‖ 404a, 2. *τὰ σφαιρ .... λέγει* et 4. *ὧν* delenda et 5. *ὁμοίως . . Λεύκιππος* parenth. includenda censet Madvig, adversaria critica I p. 471 ‖ 4. *τὴν μὲν πανσπ.* E (Trend.), Them. Torst., *μὲν* om. reliqui ‖ 5. *στοιχεῖα λέγει τῆς ὅλης φύσεως* excepto E omnes codd., etiam Them. Soph. Bek. Trend.

Opinions. The soul & motion. Democritus. Pythagoreans. Anaxagoras.

= κατ' αὐτὰ [?] Simpl.

notes
mixture of all seeds [?]

= Hobson's choice [?].

nate Plato

Met. Γ. 5. 1009^{b} 28.

γίγνεσθαι θύραθεν ἐπεισιόντων ἄλλων τοιούτων ἐν τῷ ἀναπνεῖν· κωλύειν γὰρ αὐτὰ καὶ τὰ ἐνυπάρχοντα ἐν τοῖς ζῴοις ἐκκρίνεσθαι, συνανείργοντα τὸ συνάγον καὶ πηγνύον· καὶ ζῆν δὲ ἕως ἂν δύνωνται τοῦτο ποιεῖν. ἔοικε δὲ καὶ τὸ παρὰ τῶν Πυθαγορείων λεγόμενον τὴν αὐτὴν ἔχειν διάνοιαν· ἔφασαν γάρ τινες αὐτῶν ψυχὴν εἶναι τὰ ἐν τῷ ἀέρι ξύσματα, οἱ δὲ τὸ ταῦτα κινοῦν. περὶ δὲ τούτων εἴρηται, διότι συνεχῶς φαίνεται κινούμενα, κἂν ᾖ νηνεμία παντελής. ἐπὶ ταὐτὸ δὲ φέρονται καὶ ὅσοι λέγουσι τὴν ψυχὴν τὸ αὑτὸ κινοῦν· ἐοίκασι γὰρ οὗτοι πάντες ὑπειληφέναι τὴν κίνησιν οἰκειότατον εἶναι τῇ ψυχῇ, καὶ τὰ μὲν ἄλλα πάντα κινεῖσθαι διὰ τὴν ψυχήν, ταύτην δ' ὑφ' ἑαυτῆς, διὰ τὸ μηθὲν ὁρᾶν κινοῦν ὃ μὴ καὶ αὐτὸ κινεῖται. ὁμοίως δὲ καὶ Ἀναξαγόρας ψυχὴν εἶναι λέγει τὴν κινοῦσαν, καὶ εἴ τις ἄλλος εἴρηκεν ὡς τὸ πᾶν ἐκίνησε νοῦς, οὐ μὴν παντελῶς γ' ὥσπερ Δημόκριτος. ἐκεῖνος μὲν γὰρ ἁπλῶς ψυχὴν ταὐτὸν καὶ νοῦν· τὸ γὰρ ἀληθὲς εἶναι τὸ φαινόμενον· διὸ καλῶς ποιῆσαι τὸν Ὅμηρον ὡς Ἕκτωρ κεῖτ' ἀλλοφρονέων. οὐ δὴ χρῆται τῷ νῷ ὡς δυνάμει τινὶ περὶ τὴν ἀλήθειαν, ἀλλὰ ταὐτὸ λέγει ψυχὴν καὶ νοῦν. Ἀναξαγόρας δ' ἧττον διασαφεῖ περὶ αὐτῶν· πολλαχοῦ μὲν 404
γὰρ τὸ αἴτιον τοῦ καλῶς καὶ ὀρθῶς τὸν νοῦν λέγει, ἑτέρωθι δὲ τοῦτον εἶναι τὴν ψυχήν· ἐν ἅπασι γὰρ ὑπάρχειν αὐτὸν τοῖς ζῴοις, καὶ μεγάλοις καὶ μικροῖς, καὶ τιμίοις καὶ ἀτι-

13. *εἴτ' εἰσιόντων* E, *ἐπεισιόντων* etiam Them. Soph. et sine dubio Philop. et Simpl. ‖ 19. verba *περὶ δὲ τούτων* .... 20. *παντελής* mihi suspecta videntur; legit quidem ea Philop., sed Them. et Soph. non legisse videntur ‖ *ὅτι* S ‖ 21. *ἑαυτὸ* STVWX ‖ 24. *αὑτῆς* E, *ὑφ' ἑαυτῆς* etiam Them. ‖ 27. *ὁ νοῦς* SWXy, *ὁ* om. etiam Them. ‖ 28. *ψυχὴν ταὐτὸν καὶ νοῦν* ex solo E (Trend.) scripsi, reliqui omnes *ταὐτὸν ψυχὴν καὶ νοῦν* ‖ 404b, 1. *πολλαχῇ* E, *πολλαχῶς* W, *πολλαχοῦ* etiam Them. p. 17, 27 ‖ 2. *τὸ* om. Vy, legit etiam Them. ‖ 3. *ταὐτὸν εἶναι τὸν νοῦν τῇ ψυχῇ* V, *τὸν νοῦν εἶναι ταὐτὸν τῇ ψυχῇ* TW et, qui *τὸν αὐτὸν*, Uy, similia veteres interpretes ‖ 4. *ἀτιμοτέροις* E (Zapf.).

μοτέροις. οὐ φαίνεται δ' ὅ γε κατὰ φρόνησιν λεγόμενος νοῦς πᾶσιν ὁμοίως ὑπάρχειν τοῖς ζῴοις, ἀλλ' οὐδὲ τοῖς ἀνθρώποις πᾶσιν.

ὅσοι μὲν οὖν ἐπὶ τὸ κινεῖσθαι τὸ ἔμψυχον ἀπέβλεψαν, οὗτοι τὸ κινητικώτατον ὑπέλαβον τὴν ψυχήν· ὅσοι δ' ἐπὶ τὸ γινώσκειν καὶ τὸ αἰσθάνεσθαι τῶν ὄντων, οὗτοι δὲ λέγουσι τὴν ψυχὴν τὰς ἀρχάς, οἱ μὲν πλείους ποιοῦντες ταύτας, οἱ δὲ μίαν ταύτην, ὥσπερ Ἐμπεδοκλῆς μὲν ἐκ τῶν στοιχείων πάντων, εἶναι δὲ καὶ ἕκαστον ψυχὴν τούτων, λέγων οὕτως

γαίῃ μὲν γὰρ γαῖαν ὀπώπαμεν, ὕδατι δ' ὕδωρ,
αἰθέρι δ' αἰθέρα δῖαν, ἀτὰρ πυρὶ πῦρ ἀΐδηλον,
στοργῇ δὲ στοργήν, νεῖκος δέ τε νείκεϊ λυγρῷ.

τὸν αὐτὸν δὲ τρόπον καὶ ὁ Πλάτων ἐν τῷ Τιμαίῳ τὴν ψυχὴν ἐκ τῶν στοιχείων ποιεῖ· γινώσκεσθαι γὰρ τῷ ὁμοίῳ τὸ ὅμοιον, τὰ δὲ πράγματα ἐκ τῶν ἀρχῶν εἶναι. ὁμοίως δὲ καὶ ἐν τοῖς περὶ φιλοσοφίας λεγομένοις διωρίσθη, αὐτὸ μὲν τὸ ζῷον ἐξ αὐτῆς τῆς τοῦ ἑνὸς ἰδέας καὶ τοῦ πρώτου μήκους καὶ πλάτους καὶ βάθους, τὰ δ' ἄλλα ὁμοιοτρόπως. ἔτι δὲ καὶ ἄλλως, νοῦν μὲν τὸ ἕν, ἐπιστήμην δὲ τὰ δύο· μοναχῶς γὰρ ἐφ' ἕν· τὸν δὲ τοῦ ἐπιπέδου ἀριθμὸν δόξαν, αἴσθησιν δὲ τὸν τοῦ στερεοῦ· οἱ μὲν γὰρ ἀριθμοὶ τὰ εἴδη αὐτὰ καὶ αἱ ἀρχαὶ ἐλέγοντο, εἰσὶ δ' ἐκ τῶν στοιχείων. κρίνεται δὲ τὰ πράγματα τὰ μὲν νῷ, τὰ δ' ἐπιστήμῃ, τὰ δὲ δόξῃ, τὰ δ' αἰ-

5. φαίνεται νῦν δὲ E (νῦν in rasura, Trend.) ‖ 6. πᾶσιν om. STWX ‖ 9. τὸ post καὶ om. STVWy, leg. etiam Them. Soph. ‖ δὴ U Them., om. VW ‖ 10. ποιοῦντες ταύτας οἱ VW et vet. transl., ποιοῦντες τὰς ἀρχὰς οἱ TU, ποιοῦντες τὰς ἀρχὰς ταύτας οἱ SXy et in interpr. Them. Philop. Soph., ποιοῦντες, οἱ δὲ E Bek. Trend. Torst. ‖ 11. μὲν om. STW ‖ 12. οὕτως E (Trend.), οὕτω λέγων SU, om. TW, vulgo οὕτω ‖ 13. δ' insertum E, leg. etiam Them. Soph. ‖ 14. δῖον TUVW ‖ 16. καὶ ὁ E, „et Plato“ vet. transl., om. STUVWy, ὁ om. Bek. Trend. Torst. ‖ Πλάτων post Τιμαίῳ UWy, post ψυχὴν ST ‖ 21. τὰς δ' ἄλλας Them. et tanquam variam lectionem Philop. commemorat, τὰ δὲ ἄλλα Simpl., τἄλλα δὲ Soph. ‖ 23. ἐφ' ἕν] γίνεται X, om. ST, leg. etiam Them. Soph. ‖ 24. αὐτὰ om. SX, leg. Soph. ‖ αἱ ante ἀρχαὶ ex uno E addunt Bek. et Torst., om. Soph. Trend.

Stress laid on the cognitive function of the soul.

1. defects of cognition
2. the Good is desirable [illegible]
   desirable for [illegible] [illegible]

– both cognitive and motive –

el[illegible] on [illegible]
Heraclitus.

el[illegible]
motrice et mobile R.

olkpoudes R.

eadem vi atque οὐσία
le νοῦς of the totality of of the individuals

[illegible]

σθήσει· εἴδη δ' οἱ ἀριθμοὶ οὗτοι τῶν πραγμάτων. ἐπεὶ δὲ καὶ κινητικὸν ἐδόκει ἡ ψυχὴ εἶναι καὶ γνωριστικόν, οὕτως ἔνιοι συνέπλεξαν ἐξ ἀμφοῖν, ἀποφηνάμενοι τὴν ψυχὴν ἀριθμὸν κινοῦνθ' ἑαυτόν. διαφέρονται δὲ περὶ τῶν ἀρχῶν, τίνες καὶ πόσαι, μάλιστα μὲν οἱ σωματικὰς ποιοῦντες τοῖς ἀσωμάτους, τούτοις δ' οἱ μίξαντες καὶ ἀπ' ἀμφοῖν τὰς ἀρχὰς ἀποφη- 405a νάμενοι. διαφέρονται δὲ καὶ περὶ τὸ πλῆθος· οἱ μὲν γὰρ μίαν οἱ δὲ πλείους λέγουσιν. ἑπομένως δὲ τούτοις καὶ τὴν ψυχὴν ἀποδιδόασιν· τό τε γὰρ κινητικὸν τὴν φύσιν τῶν πρώτων ὑπειλήφασιν, οὐκ ἀλόγως. ὅθεν ἔδοξέ τισι πῦρ εἶναι· καὶ γὰρ τοῦτο λεπτομερέστατόν τε καὶ μάλιστα τῶν στοιχείων ἀσώματον, ἔτι δὲ κινεῖταί τε καὶ κινεῖ τὰ ἄλλα πρώτως. Δημόκριτος δὲ καὶ γλαφυρωτέρως εἴρηκεν ἀποφαινόμενος διὰ τί τούτων ἑκάτερον· ψυχὴν μὲν γὰρ εἶναι ταὐτὸ καὶ νοῦν, τοῦτο δ' εἶναι τῶν πρώτων καὶ ἀδιαιρέτων σωμάτων, κινητικὸν δὲ διὰ λεπτομέρειαν καὶ τὸ σχῆμα· τῶν δὲ σχημάτων εὐκινητότατον τὸ σφαιροειδὲς λέγει· τοιοῦτον δ' εἶναι τόν τε νοῦν καὶ τὸ πῦρ. Ἀναξαγόρας δ' ἔοικε μὲν ἕτερον λέγειν ψυχήν τε καὶ νοῦν, ὥσπερ εἴπομεν καὶ πρότερον, χρῆται δ' ἀμφοῖν ὡς μιᾷ φύσει, πλὴν ἀρχήν γε τὸν νοῦν τίθεται μάλιστα πάντων· μόνον γοῦν φησὶν αὐτὸν τῶν ὄντων ἁπλοῦν εἶναι καὶ ἀμιγῆ τε καὶ καθαρόν. ἀποδίδωσι δ' ἄμφω τῇ αὐτῇ

27. *εἴδη δὲ καὶ ἀριθμοὶ* coni. Steinhart l. l., *οὗτοι καὶ* coni. Susemihl, Jen. Lit. Z. 1877, p. 708 ‖ 28. virgulam post *οὕτως* Torst. Belger ‖ 31 *ἀσωμάτους* e codd. solus X, Them. Philop. Soph. Trend. Torst., ceteri codd. et Bek. *ἀσωμάτοις* ‖ 405a, 2. *τοῦ πλήθους* STVX ‖ 4. *τε* om. ST ‖ 7. *ἔτι δὲ* E_1, sed eras., in ras. *καί, καὶ* etiam UX ‖ *τε* om. STW ‖ 8. *ἀποφαινόμενος* Torst. ex E, reliqui *ἀποφηνάμενος*, etiam Soph. ‖ 9. *ψυχὴ* E (Trend.) ‖ *ταὐτὸν* STVX ‖ 10. *εἶναι ἐκ τῶν* TUVWX ‖ 11. *λεπτομέρειαν* T et E, sed *λεπτο* in ras. (Stapf.), „subtilitatem" vet. transl. Torst., cui assentitur etiam Noetel Zeitschr. f. Gym. 1864, p. 141, *μικρολεπτομέρειαν* S, *μικρομέρειαν* rc. E et reliqui codd., etiam Philop. Soph., *σμικρομέρειαν* Them. ‖ 14. *τε* om. X ‖ *χρῆσθαι* EX, *χρῆται* etiam Simpl. ‖ 16. *ἁπάντων* Sy, *πάντων* reliqui, etiam E (Stapf.) Simpl. Philop. ‖ 17. *τε* om. SVWy.

ἀρχῇ, τό τε γινώσκειν καὶ τὸ κινεῖν, λέγων νοῦν κινῆσαι τὸ πᾶν. ἔοικε δὲ καὶ Θαλῆς ἐξ ὧν ἀπομνημονεύουσι κινητικόν τι τὴν ψυχὴν ὑπολαβεῖν, εἴπερ τὸν λίθον ἔφη ψυχὴν ἔχειν, ὅτι τὸν σίδηρον κινεῖ. Διογένης δ' ὥσπερ καὶ ἕτεροί τινες ἀέρα, τοῦτον οἰηθεὶς πάντων λεπτομερέστατον εἶναι καὶ ἀρχήν· καὶ διὰ τοῦτο γινώσκειν τε καὶ κινεῖν τὴν ψυχήν, ᾗ μὲν πρῶτόν ἐστι, καὶ ἐκ τούτου τὰ λοιπά, γινώσκειν, ᾗ δὲ λεπτότατον, κινητικὸν εἶναι. καὶ Ἡράκλειτος δὲ τὴν ἀρχὴν εἶναί φησι ψυχήν, εἴπερ τὴν ἀναθυμίασιν, ἐξ ἧς τἆλλα συνίστησιν· καὶ ἀσωματώτατόν τε καὶ ῥέον ἀεί· τὸ δὲ κινούμενον κινουμένῳ γινώσκεσθαι. ἐν κινήσει δ' εἶναι τὰ ὄντα κἀκεῖνος ᾤετο καὶ οἱ πολλοί. παραπλησίως δὲ τούτοις καὶ Ἀλκμαίων ἔοικεν ὑπολαβεῖν περὶ ψυχῆς· φησὶ γὰρ αὐτὴν ἀθάνατον εἶναι διὰ τὸ ἐοικέναι τοῖς ἀθανάτοις, τοῦτο δ' ὑπάρχειν αὐτῇ ὡς ἀεὶ κινουμένῃ· κινεῖσθαι γὰρ καὶ τὰ θεῖα πάντα συνεχῶς ἀεί, σελήνην, ἥλιον, τοὺς ἀστέρας καὶ τὸν οὐρανὸν ὅλον. τῶν δὲ φορτικωτέρων καὶ ὕδωρ τινὲς ἀπεφήναντο, καθάπερ Ἵππων. πεισθῆναι δ' ἐοίκασιν ἐκ τῆς γονῆς, ὅτι πάντων ὑγρά· καὶ γὰρ ἐλέγχει τοὺς αἷμα φάσκοντας τὴν ψυχήν, ὅτι ἡ γονὴ οὐχ αἷμα· ταύτην δ' εἶναι τὴν πρώτην ψυχήν. ἕτεροι δ' αἷμα, καθάπερ Κριτίας, τὸ αἰσθάνεσθαι ψυχῆς οἰκειότατον ὑπολαμβάνοντες, τοῦτο δ' ὑπάρχειν διὰ τὴν τοῦ αἵματος φύσιν. πάντα γὰρ τὰ στοιχεῖα κριτὴν εἴληφε, πλὴν τῆς γῆς· ταύτην δ' οὐθεὶς ἀποπέφανται, πλὴν εἴ τις αὐτὴν εἴρηκεν ἐκ πάντων εἶναι τῶν στοιχείων ἢ πάντα.

20. ὑπολαμβάνειν TUVWy, ἀπολαμβάνειν S, ὑπολαβεῖν etiam Them. ‖ τὴν λίθον X et veteres interpretes ‖ 24. λεπτομερέστατον TUVW ‖ 25. φησι τὴν ψ. UW ‖ 26. καὶ γὰρ ἀσ. TU ‖ 27. δὲ SX, δὴ TU Bek. Trend., om. V, τὲ etiam Soph. et, ut videtur, Them., Torst. ‖ 32. ἅπαντα STUVX ‖ 405b, 1. τοὺς om. UVW, leg. etiam Them. Soph. ‖ 5. τὴν om. ST, πρώτην om. W, τὴν πρώτην leg. etiam Philop. Soph. ‖ 6. τῆς ψυχῆς Uy ‖ 8. γὰρ] δ' οὖν TU Them., οὖν Soph. ‖ 9. ἀποφαίνεται STVWX, ἀποπέφανται etiam Them.

stone

clation = prop. x [illegible]

.ksvn

is chorus

Summary

Motion. perception. simplicity the moments common. Reduced to elements.

[illegible]

Anax

A. expl. sens. by opposites. τὸ γὰρ ὅμοιον ἀπαθὲς ὑπὸ τοῦ ὁμοίου
[illegible] πάθη ἐπείπερ καθ' ἣν ἀλλοιοῦσθαι ἐνδέχεται.

etymology.

Criticism of motion as belonging to the soul.

[illegible] Pl. [illegible]

ὁρίζονται δὲ πάντες τὴν ψυχὴν τρισὶν ὡς εἰπεῖν, κινήσει, αἰσθήσει, τῷ ἀσωμάτῳ· τούτων δ' ἕκαστον ἀνάγεται πρὸς τὰς ἀρχάς. διὸ καὶ οἱ τῷ γινώσκειν ὁριζόμενοι αὐτὴν ἢ στοιχεῖον ἢ ἐκ τῶν στοιχείων ποιοῦσι, λέγοντες παραπλησίως ἀλλήλοις, πλὴν ἑνός· φασὶ γὰρ γινώσκεσθαι τὸ ὅμοιον τῷ ὁμοίῳ· ἐπειδὴ γὰρ ἡ ψυχὴ πάντα γιγνώσκει, συνιστᾶσιν αὐτὴν ἐκ πασῶν τῶν ἀρχῶν. ὅσοι μὲν οὖν μίαν τινὰ λέγουσιν αἰτίαν καὶ στοιχεῖον ἕν, καὶ τὴν ψυχὴν ἓν τιθέασιν, οἷον πῦρ ἢ ἀέρα· οἱ δὲ πλείους λέγοντες τὰς ἀρχὰς καὶ τὴν ψυχὴν πλείω ποιοῦσιν. Ἀναξαγόρας δὲ μόνος ἀπαθῆ φησὶν εἶναι τὸν νοῦν, καὶ κοινὸν οὐθὲν οὐθενὶ τῶν ἄλλων ἔχειν. τοιοῦτος δ' ὢν πῶς γνωριεῖ καὶ διὰ τίν' αἰτίαν, οὔτ' ἐκεῖνος εἴρηκεν οὔτ' ἐκ τῶν εἰρημένων συμφανές ἐστιν. ὅσοι δ' ἐναντιώσεις ποιοῦσιν ἐν ταῖς ἀρχαῖς, καὶ τὴν ψυχὴν ἐκ τῶν ἐναντίων συνιστᾶσιν· οἱ δὲ θάτερον τῶν ἐναντίων, οἷον θερμὸν ἢ ψυχρὸν ἤ τι τοιοῦτον ἄλλο, καὶ τὴν ψυχὴν ὁμοίως ἕν τι τούτων τιθέασιν. διὸ καὶ τοῖς ὀνόμασιν ἀκολουθοῦσιν· οἱ μὲν γὰρ τὸ θερμὸν λέγοντες, ὅτι διὰ τοῦτο καὶ τὸ ζῆν ὠνόμασται, οἱ δὲ τὸ ψυχρὸν, διὰ τὴν ἀναπνοὴν καὶ τὴν κατάψυξιν καλεῖσθαι ψυχήν. τὰ μὲν οὖν παραδεδομένα περὶ ψυχῆς, καὶ δι' ἃς αἰτίας λέγουσιν οὕτω, ταῦτ' ἐστίν.

3 Ἐπισκεπτέον δὲ πρῶτον μὲν περὶ κινήσεως· ἴσως γὰρ οὐ μόνον ψεῦδός ἐστι τὸ τὴν οὐσίαν αὐτῆς τοιαύτην εἶναι οἵαν φασὶν οἱ λέγοντες ψυχὴν εἶναι τὸ κινοῦν ἑαυτὸ ἢ δυνάμενον 406a κινεῖν, ἀλλ' ἕν τι τῶν ἀδυνάτων τὸ ὑπάρχειν αὐτῇ κίνησιν.

11. δὴ pro δὲ coni. Hayduck ‖ πάντες ὡς εἰπεῖν τ. ψ. coni. Christ ‖ τὴν om. ST, τὴν ψυχὴν om. V ‖ 15. γιγν. καὶ τὸ ὅμ. U, τὸ ὅμοιον γιγν. ST, καὶ τὸ ὅμοιον γιγν. VW ‖ τῷ ὁμ. τὸ ὅμ. X ‖ ἡ om. E ‖ 18. πλείω UVW, πλείονα y ‖ 19. ποιοῦσιν] λέγουσιν STUWy, ποιοῦσιν etiam Soph. ‖ 21. γνωρίζει SU, γνωρίζοι y, futurum etiam Philop. ‖ 25. ἄλλο om. X, ἄλλο ... 26. τούτων om. E, tuentur haec verba Philop. Soph. ‖ 27. γὰρ ex uno E restituit et post ἀκολουθοῦσιν colon posuit Torst., cui assentitur etiam Noetel l. l. p. 142, praeterquam quod aut λέγοντες post ψυχρὸν 28. poni, aut verba 29. καλεῖσθαι ψυχὴν eici vult ‖ 406a, 1. τὴν ψυχὴν U, τὴν om. etiam Philop. ‖ αὐτὸ UW, ἑαυτὸ etiam Them. Philop.

ὅτι μὲν οὖν οὐκ ἀναγκαῖον τὸ κινοῦν καὶ αὐτὸ κινεῖσθαι, πρότερον εἴρηται. διχῶς δὲ κινουμένου παντός (ἢ γὰρ καθ' ἕτερον ἢ καθ' αὐτό· καθ' ἕτερον δὲ λέγομεν, ὅσα κινεῖται τῷ ἐν κινουμένῳ εἶναι, οἷον πλωτῆρες· οὐ γὰρ ὁμοίως κινοῦνται τῷ πλοίῳ· τὸ μὲν γὰρ καθ' αὐτὸ κινεῖται, οἱ δὲ τῷ ἐν κινουμένῳ εἶναι. δῆλον δ' ἐπὶ τῶν μορίων· οἰκεία μὲν γάρ ἐστι κίνησις ποδῶν βάδισις, αὕτη δὲ καὶ ἀνθρώπων· οὐχ ὑπάρχει δὲ τοῖς πλωτῆρσι τότε) δισσῶς δὲ λεγομένου τοῦ κινεῖσθαι νῦν ἐπισκοποῦμεν περὶ τῆς ψυχῆς εἰ καθ' αὐτὴν κινεῖται καὶ μετέχει κινήσεως. τεσσάρων δὲ κινήσεων οὐσῶν, φορᾶς ἀλλοιώσεως φθίσεως αὐξήσεως, ἢ μίαν τούτων κινοῖτ' ἂν ἢ πλείους ἢ πάσας. εἰ δὲ κινεῖται μὴ κατὰ συμβεβηκός, φύσει ἂν ὑπάρχοι κίνησις αὐτῇ· εἰ δὲ τοῦτο, καὶ τόπος· πᾶσαι γὰρ αἱ λεχθεῖσαι κινήσεις ἐν τόπῳ. εἰ δ' ἐστὶν ἡ οὐσία τῆς ψυχῆς τὸ κινεῖν ἑαυτήν, οὐ κατὰ συμβεβηκὸς αὐτῇ τὸ κινεῖσθαι ὑπάρξει, ὥσπερ τῷ λευκῷ ἢ τριπήχει· κινεῖται γὰρ καὶ ταῦτα, ἀλλὰ κατὰ συμβεβηκός· ᾧ γὰρ ὑπάρχουσιν, ἐκεῖνο κινεῖται, τὸ σῶμα. διὸ καὶ οὐκ ἔστι τόπος αὐτῶν· τῆς δὲ ψυχῆς ἔσται, εἴπερ φύσει κινήσεως μετέχει. ἔτι δ' εἰ φύσει κινεῖται, κἂν βίᾳ κινηθείη· κἂν εἰ βίᾳ, καὶ φύσει. τὸν αὐτὸν δὲ τρόπον ἔχει καὶ περὶ ἠρεμίας· εἰς ὃ γὰρ κινεῖται φύσει, καὶ ἠρεμεῖ ἐν τούτῳ φύσει· ὁμοίως δὲ καὶ εἰς ὃ κινεῖται βίᾳ, καὶ ἠρεμεῖ ἐν τού-

10. δισσῶς solus E, Philop., reliqui et scripti et impressi διχῶς ‖ δὲ] οὖν U, Them. in interpr., δὴ coni. Susemihl l. l., δὲ etiam Philop. ‖ 12. καὶ ⟨οὐκ εἰ⟩, vel καὶ ⟨οὐκ εἰ καθ' ἕτερον⟩ coni. Susemihl ‖ 13. φθίσεως om. pr. E, leg. etiam Them. Philop, Dittenberger, Gött. gelehrte Anzeigen 1863 p. 1612, ex verbo φθίσεως in pr. E omisso suspicatur, primum tres tantum motus species hoc loco nominatas esse ‖ 18. ὑπάρξει praeter ceteros codd. etiam E, sed ξ in ras. (Stapf.), leg. et Soph. ‖ τῷ τριπήχει TUVW, Bek. Trend. Torst., τῷ om. etiam Philop. Soph. ‖ 23. εἰ om. pr. E (Trend. Bus.) ‖ καὶ φύσει] κατὰ φύσιν pr. E, verba κἂν εἰ βίᾳ, καὶ φύσει Trendelnburgio suspecta videntur, leg. etiam Philop. Simpl. Soph.

Phys VIII 5

is hard to draw the line . [illegible]

[illegible] τόπον . πάθη . εἶδος . μέγεθος .

natural place R
i.e. wh. is impossible .
only here where [illegible]
[illegible]

τῷ βίᾳ. ποῖαι δὲ βίαιοι τῆς ψυχῆς κινήσεις ἔσονται καὶ ἠρεμίαι, οὐδὲ πλάττειν βουλομένοις ῥᾴδιον ἀποδοῦναι. ἔτι δ' εἰ μὲν ἄνω κινήσεται, πῦρ ἔσται, εἰ δὲ κάτω, γῆ· τούτων γὰρ τῶν σωμάτων αἱ κινήσεις αὗται. ὁ δ' αὐτὸς λόγος καὶ περὶ τῶν μεταξύ. ἔτι δ' ἐπεὶ φαίνεται κινοῦσα τὸ σῶμα, ταύτας εὔλογον κινεῖν τὰς κινήσεις ἃς καὶ αὐτὴ κινεῖται. εἰ δὲ τοῦτο, καὶ ἀντιστρέψασιν εἰπεῖν ἀληθὲς ὅτι ἣν τὸ σῶμα κινεῖται, ταύτην καὶ αὐτή. τὸ δὲ σῶμα κινεῖται φορᾷ· 406b ὥστε καὶ ἡ ψυχὴ μεταβάλλοι ἂν κατὰ τὸ σῶμα ἢ ὅλη ἢ κατὰ μόρια μεθισταμένη. εἰ δὲ τοῦτ' ἐνδέχεται, καὶ ἐξελθοῦσαν εἰσιέναι πάλιν ἐνδέχοιτ' ἄν· τούτῳ δ' ἕποιτ' ἂν τὸ ἀνίστασθαι τὰ τεθνεῶτα τῶν ζῴων. τὴν δὲ κατὰ συμβεβηκὸς κίνησιν κἂν ὑφ' ἑτέρου κινοῖτο· ὠσθείη γὰρ ἂν βίᾳ τὸ ζῷον. οὐ δεῖ δὲ ᾧ τὸ ὑφ' ἑαυτοῦ κινεῖσθαι ἐν τῇ οὐσίᾳ, τοῦθ' ὑπ' ἄλλου κινεῖσθαι, πλὴν εἰ μὴ κατὰ συμβεβηκός, ὥσπερ οὐδὲ τὸ καθ' αὑτὸ ἀγαθὸν ἢ δι' αὑτό, τὸ μὲν δι' ἄλλο εἶναι, τὸ δ' ἑτέρου ἕνεκεν. τὴν δὲ ψυχὴν μάλιστα φαίη τις ἂν ὑπὸ τῶν αἰσθητῶν κινεῖσθαι, εἴπερ κινεῖται. ἀλλὰ μὴν καὶ εἰ κινεῖ γε αὐτὴ αὑτήν, καὶ αὐτὴ κινοῖτ' ἄν, ὥστ' εἰ πᾶσα κίνησις ἔκστασίς ἐστι τοῦ κινουμένου ᾗ κινεῖται, καὶ ἡ ψυχὴ ἐξίσταιτ' ἂν ἐκ τῆς οὐσίας αὑτῆς, εἰ μὴ κατὰ συμβεβηκὸς ἑαυτὴν κινεῖ, ἀλλ' ἔστιν ἡ κίνησις τῆς οὐσίας αὐτῆς καθ' αὑτήν. ἔνιοι δε καὶ κινεῖν φασὶ τὴν ψυχὴν τὸ σῶμα ἐν ᾧ ἐστίν, ὡς αὐτὴ κινεῖται,

28. κινησεται E_1, superscr. θη E_2 (Stapf.) ‖ 30. ἔπειτα δ' εἰ corr. E ‖ 31. εὔλογον ταύτας STVWXy, ταύτας εὔλ. etiam Soph. ‖ 406b, 2. κατὰ τὸ σῶμα omnes codd., etiam Soph. et vet. transl., κατὰ τόπον coni. Bon., Hermes VII, p. 424 ‖ 3. ἐνδέχοιτο STUW, εἰ δὲ τοῦτο, ἐνδέχοιτ' ἂν καὶ y Bon. l. l., ἐνδέχεται etiam Soph. et vet. transl. ‖ 4. ἐνδέχοιτ' ἄν om. SWXy Bon., leg. etiam Soph. et vet. transl. ‖ τούτῳ . . . 5. ζώων a manu Christiani lectoris inserta esse suspicatur Trend., cui adversatur Bon. l. l. ‖ 8. μὴ om. E Simpl., leg. Philop. ‖ 9. δι' αὐτὸ ὄν coni. Christ ‖ 12. γε om. STVW Alex. p. 86. Soph. ‖ ἑαυτὴν STUVWy et corr. E_2 Soph. ‖ εἰ] ἐπεὶ Alex. l. l. ‖ 13. ἐξισταίη T, ἐξίσταται (omisso ἂν) SWX, ἐξίστατο y, ἐξίσταιτο ἂν Alex. l. l. ‖ 14. οὐσίας αὐτῆς καθ' αὐτὴν, sed καθ' αὐτὴν expunct. E ‖ 15. καθ' αὐτήν unc. incl. Torst., tuetur haec praeter omnes codd. Alex. l. l.

οἷον Δημόκριτος, παραπλησίως λέγων Φιλίππῳ τῷ κωμῳδοδιδασκάλῳ· φησὶ γὰρ τὸν Δαίδαλον κινουμένην ποιῆσαι τὴν ξυλίνην Ἀφροδίτην, ἐγχέαντ' ἄργυρον χυτόν· ὁμοίως δὲ καὶ Δημόκριτος λέγει· κινουμένας γάρ φησι τὰς ἀδιαιρέτους σφαίρας διὰ τὸ πεφυκέναι μηδέποτε μένειν συνεφέλκειν καὶ κινεῖν τὸ σῶμα πᾶν. ἡμεῖς δ' ἐρωτήσομεν εἰ καὶ ἠρέμησιν ποιεῖ ταὐτὰ ταῦτα. πῶς δὲ ποιήσει, χαλεπὸν ἢ καὶ ἀδύνατον εἰπεῖν. ὅλως δ' οὐχ οὕτω φαίνεται κινεῖν ἡ ψυχὴ τὸ ζῷον, ἀλλὰ διὰ προαιρέσεώς τινος καὶ νοήσεως.

τὸν αὐτὸν δὲ τρόπον καὶ ὁ Τίμαιος φυσιολογεῖ τὴν ψυχὴν κινεῖν τὸ σῶμα· τῷ γὰρ κινεῖσθαι αὐτὴν καὶ τὸ σῶμα κινεῖν διὰ τὸ συμπεπλέχθαι πρὸς αὐτό. συνεστηκυῖαν γὰρ ἐκ τῶν στοιχείων καὶ μεμερισμένην κατὰ τοὺς ἁρμονικοὺς ἀριθμούς, ὅπως αἴσθησίν τε σύμφυτον ἁρμονίας ἔχῃ καὶ τὸ πᾶν φέρηται συμφώνους φοράς, τὴν εὐθυωρίαν εἰς κύκλον κατέκαμψεν· καὶ διελὼν ἐκ τοῦ ἑνὸς κύκλους δύο δισσαχῇ συνημμένους 407a πάλιν τὸν ἕνα διεῖλεν εἰς ἑπτὰ κύκλους, ὡς οὔσας τὰς τοῦ οὐρανοῦ φορὰς τὰς τῆς ψυχῆς κινήσεις. πρῶτον μὲν οὖν οὐ καλῶς τὸ λέγειν τὴν ψυχὴν μέγεθος εἶναι· τὴν γὰρ τοῦ παντὸς δῆλον ὅτι τοιαύτην εἶναι βούλεται οἷόν ποτ' ἐστὶν ὁ καλούμενος νοῦς· οὐ γὰρ δὴ οἷόν γ' ἡ αἰσθητική, οὐδ' οἷον ἡ ἐπιθυμητική· τούτων γὰρ ἡ κίνησις οὐ κυκλοφορία· ὁ δὲ νοῦς εἷς καὶ συνεχὴς ὥσπερ καὶ ἡ νόησις· ἡ δὲ νόησις τὰ νοήματα· ταῦτα δὲ τῷ ἐφεξῆς ἕν, ὡς ὁ ἀριθμός, ἀλλ' οὐχ ὡς τὸ μέγεθος· διόπερ οὐδ' ὁ νοῦς οὕτω συνεχής, ἀλλ' ἤτοι ἀμερὴς ἢ

19. δὲ om. Wy ‖ 22. καὶ] τε καὶ TVy ‖ ἐρωτήσωμεν STU VW ‖ ἠρεμήσειν ποιεῖ STUVW, ἠρεμεῖν ποιεῖ X, ἠρέμησιν etiam Soph. ‖ 23. τοῦτ' αὐτὸ STUWX, τοῦτό ποτε V, τοῦτο αὐτὸ y Soph. et E, sed in rasura, videtur subfuisse ταῦτα ταὐτὰ (Bek. Trend.) ‖ 30. τε] τε καὶ TU, καὶ om. etiam Them. Philop. ‖ ἁρμονίαν TUW Soph., ἁρμονίας etiam Them. Philop. ‖ 32. κύκλους δύο ex uno E recepi cum Torst., reliqui δύο κύκλους ‖ 407a, 5. γ' om. Wy, leg. etiam Simpl. in prooemio ad lib. I, p. 4, 1 et Soph. ‖ 8. ὁ ἀριθμὸς pr. E (Trend.) et U, Simpl. Philop. Torst., reliqui om. articulum ‖ 9. οὐδὲ νοῦς UW ‖ οὕτω

quicksilver

not that they have a natural movement.

ce qui meut l'animal c'est [illegible]

Criticism of the soul in Timaeus. μέγεθος. circular motion.

straight direction
ἐκ κύκλου

subordination πρότ. κ. ὕστερα not coordination.
as in the case of [illegible]

[illegible]
[illegible]

les choses dont l'acte est identique ont l'essence identique

under sense of [illegible] R.

equivalent!

οὐχ ὡς μέγεθός τι συνεχής. πῶς γὰρ δὴ καὶ νοήσει μέγεθος ὤν; πότερον ὁτῳοῦν μορίῳ τῶν αὐτοῦ; μορίῳ δ' ἤτοι κατὰ μέγεθος ἢ κατὰ στιγμήν, εἰ δεῖ καὶ τοῦτο μόριον εἰπεῖν. εἰ μὲν οὖν κατὰ στιγμήν, αὗται δ' ἄπειροι, δῆλον ὡς οὐδέποτε διέξεισιν· εἰ δὲ κατὰ μέγεθος, πολλάκις ἢ ἀπειράκις νοήσει τὸ αὐτό. φαίνεται δὲ καὶ ἅπαξ ἐνδεχόμενον. εἰ δ' ἱκανὸν θιγεῖν ὁτῳοῦν τῶν μορίων, τί δεῖ κύκλῳ κινεῖσθαι ἢ καὶ ὅλως μέγεθος ἔχειν; εἰ δ' ἀναγκαῖον νοῆσαι τῷ ὅλῳ κύκλῳ θιγόντα, τίς ἐστιν ἡ τοῖς μορίοις θίξις; ἔτι δὲ πῶς νοήσει τὸ μεριστὸν ἀμερεῖ ἢ τὸ ἀμερὲς μεριστῷ; ἀναγκαῖον δὲ τὸν νοῦν εἶναι τὸν κύκλον τοῦτον· νοῦ μὲν γὰρ κίνησις νόησις, κύκλου δὲ περιφορά· εἰ οὖν ἡ νόησις περιφορά, καὶ νοῦς ἂν εἴη ὁ κύκλος, οὗ ἡ τοιαύτη περιφορὰ νόησις. ἀεὶ δὲ δὴ τί νοήσει; δεῖ γάρ, εἴπερ ἀΐδιος ἡ περιφορά· τῶν μὲν γὰρ πρακτικῶν νοήσεων ἔστι πέρατα (πᾶσαι γὰρ ἑτέρου χάριν), αἱ δὲ θεωρητικαὶ τοῖς λόγοις ὁμοίως ὁρίζονται· λόγος δὲ πᾶς ὁρισμὸς ἢ ἀπόδειξις· ἡ μὲν οὖν ἀπόδειξις καὶ ἀπ' ἀρχῆς καὶ ἔχουσά πως τέλος τὸν συλλογισμὸν ἢ τὸ συμπέρασμα· εἰ δὲ

mihi suspectum videtur, legit etiam Simpl. ‖ 11. *ὤν; πότερον ὁτῳοῦν μορίῳ* recepi ex solo pr. E, *ὢν ὁτῳοῦν τῶν μορίων* (omisso *πότερον*) rc. E et ceteri codd. (praeterquam quod V *ἐν ὁτ.* praebet), quam lectionem etiam Bek. recepit, *ὤν; ὁτῳοῦν μορίῳ* coni. Susemihl, Jen. Lit. Zeit. p. 708 et Burs. Jahresb. IX, 351, *ὢν πότερον καθόλου ἢ ὁτῳοῦν τῶν μορ.* scripsit Trend., sic etiam vet. transl., *ὢν πότερον καθ' ὅλον θιγὼν ἢ ὁτῳοῦν τῶν μορ.* posuit Torst., *ὤν πρότερον* (lege *πότερον*) *καθόλου ἢ ἐν ὁτῳοῦν τῶν μορίων αὐτοῦ* in interpr. Soph. ‖ 11. *μορίων δ'* omnes libri scripti et impressi, etiam Philop. Soph., *μορίῳ δ'* coni. etiam Susemihl l. l. ‖ 15. *φαίνεται . . . ἐνδεχόμενον* a philosopho Platonico interpolatum existimat Christ ‖ *εἰ θ'* coni. Susemihl ‖ 16. *καὶ* om. SVW, leg. etiam Them. ‖ 19. *ἢ τὸ* E (Trend.) et y, Philop. Soph. vet. transl. Torst., reliqui *καὶ τὸ* ‖ 22. *νόησις* unc. incl. Torst. ‖ *δή τι νοήσει·* Soph. Bek. Trend., *δὴ τί νοήσει;* Simpl. Torst. ‖ 23. *γὰρ ποιητικῶν καὶ πρακτ.* SUWX, *ποιμτικῶν καὶ* non legisse videntur Them. Philop. Simpl. ‖ 25. *πᾶς ἢ* Uy ‖ 26. *αἱ δ' ἀποδείξεις* STUVWX Bek. Trend., *αἱ μὲν οὖν ἀποδείξεις* y et, ut videtur, Soph., Torst., *ἡ μὲν οὖν ἀπόδειξις* E, sed superscr. *αἱ* et *εις* E_2 (Stapf.) ‖ 27. *ἔχουσα* E, reliqui et scripti et impressi *ἔχουσι*.

μὴ περατοῦνται, ἀλλ' οὐκ ἀνακάμπτουσί γε πάλιν ἐπ' ἀρχήν, προσλαμβάνουσαι δ' ἀεὶ μέσον καὶ ἄκρον εὐθυποροῦσιν· ἡ δὲ περιφορὰ πάλιν ἐπ' ἀρχὴν ἀνακάμπτει. οἱ δ' ὁρισμοὶ πάντες πεπερασμένοι. ἔτι εἰ ἡ αὐτὴ περιφορὰ πολλάκις, δεήσει πολλάκις νοεῖν τὸ αὐτό. ἔτι δ' ἡ νόησις ἔοικεν ἠρεμήσει τινὶ καὶ ἐπιστάσει μᾶλλον ἢ κινήσει· τὸν αὐτὸν δὲ τρόπον καὶ ὁ συλλογισμός. ἀλλὰ μὴν οὐδὲ μακάριόν γε τὸ μὴ 407b ῥᾴδιον ἀλλὰ βίαιον. εἰ δ' ἐστὶν ἡ κίνησις αὐτῆς μὴ οὐσία, παρὰ φύσιν ἂν κινοῖτο. ἐπίπονον δὲ καὶ τὸ μεμῖχθαι τῷ σώματι μὴ δυνάμενον ἀπολυθῆναι, καὶ προσέτι φευκτόν, εἴπερ βέλτιον τῷ νῷ μὴ μετὰ σώματος εἶναι, καθάπερ εἴωθέ τε λέγεσθαι καὶ πολλοῖς συνδοκεῖ. ἄδηλος δὲ καὶ τοῦ κύκλῳ φέρεσθαι τὸν οὐρανὸν ἡ αἰτία· οὔτε γὰρ τῆς ψυχῆς ἡ οὐσία αἰτία τοῦ κύκλῳ φέρεσθαι, ἀλλὰ κατὰ συμβεβηκὸς οὕτω κινεῖται, οὔτε τὸ σῶμα αἴτιον, ἀλλ' ἡ ψυχὴ μᾶλλον ἐκείνῳ. ἀλλὰ μὴν οὐδ' ὅτι βέλτιον λέγεται· καίτοι γ' ἐχρῆν διὰ τοῦτο τὸν θεὸν κύκλῳ ποιεῖν φέρεσθαι τὴν ψυχήν, ὅτι βέλτιον αὐτῇ τὸ κινεῖσθαι τοῦ μένειν, κινεῖσθαι δ' οὕτως ἢ ἄλλως.

ἐπεὶ δ' ἐστὶν ἡ τοιαύτη σκέψις ἑτέρων λόγων οἰκειοτέρα, ταύτην μὲν ἀφῶμεν τὸ νῦν. ἐκεῖνο δὲ ἄτοπον συμβαίνει καὶ τούτῳ τῷ λόγῳ καὶ τοῖς πλείστοις τῶν περὶ ψυχῆς· συνάπτουσι γὰρ καὶ τιθέασιν εἰς σῶμα τὴν ψυχήν, οὐθὲν προσδιορίσαντες διὰ τίν' αἰτίαν καὶ πῶς ἔχοντος τοῦ σώματος. καίτοι δόξειεν ἂν τοῦτ' ἀναγκαῖον εἶναι· διὰ γὰρ τὴν κοινωνίαν τὸ μὲν ποιεῖ τὸ δὲ πάσχει καὶ τὸ μὲν κινεῖται τὸ

29. προσαναλαμβάνουσαι E, sed ανα expunct. (Zapf.) Torst., reliqui προσλαμβάνουσαι, etiam Philop. Soph. || 30. οἱ θ' ὁρ. coni. Christ || 407b, 1. μὴ οὐσία corrupta putat et coni. ἡ οὐσία Torst., ἡ οὐσία ⟨καὶ⟩, vel ⟨ἔκστασις ἐκ⟩ τῆς οὐσίας coni. Susemihl l. l., ac sane quidem Them. non leg. negationem, leg. μή Philop. Simpl. Soph. et vet. transl. || 2. ἂν κινοῖτο E Simpl., ceteri codd. κινοῖτ' ἄν || 9. γ' om. E (Trend.) et Torst. || 10. ποιεῖν κύκλῳ SVWy Torst., κύκλῳ ποιεῖν etiam Soph. || 14. τῶν περί, sic omnes codd., etiam E (Trend.) et Them., τοῖς περὶ Soph. || 18. ποιεῖ τι τὸ STVWX.

The minor stone as major in the nex?

Timaeus 33.

Relation of the body to the soul neglected
Phys VIII

a determinis [illegible]

The soul not a harmony.

Phaedo 91 B–95 D

δὲ κινεῖ, τούτων δ' οὐθὲν ὑπάρχει πρὸς ἄλληλα τοῖς τυχοῦσιν. οἱ δὲ μόνον ἐπιχειροῦσι λέγειν ποῖόν τι ἡ ψυχή, περὶ δὲ τοῦ δεξομένου σώματος οὐθὲν ἔτι προσδιορίζουσιν, ὥσπερ ἐνδεχόμενον κατὰ τοὺς Πυθαγορικοὺς μύθους τὴν τυχοῦσαν ψυχὴν εἰς τὸ τυχὸν ἐνδύεσθαι σῶμα· δοκεῖ γὰρ ἕκαστον ἴδιον ἔχειν εἶδος σῶμα καὶ μορφήν. παραπλήσιον δὲ λέγουσιν ὥσπερ εἴ τις φαίη τὴν τεκτονικὴν εἰς αὐλοὺς ἐνδύεσθαι· δεῖ γὰρ τὴν μὲν τέχνην χρῆσθαι τοῖς ὀργάνοις, τὴν δὲ ψυχὴν τῷ σώματι.

4 Καὶ ἄλλη δέ τις δόξα παραδέδοται περὶ ψυχῆς, πιθανὴ μὲν πολλοῖς οὐδεμιᾶς ἧττον τῶν λεγομένων, λόγους δ' ὥσπερ εὐθύνας δεδωκυῖα καὶ τοῖς ἐν κοινῷ γινομένοις λόγοις. ἁρμονίαν γάρ τινα αὐτὴν λέγουσι· καὶ γὰρ τὴν ἁρμονίαν κρᾶσιν καὶ σύνθεσιν ἐναντίων εἶναι, καὶ τὸ σῶμα συγκεῖσθαι ἐξ ἐναντίων. καίτοι γε ἡ μὲν ἁρμονία λόγος τίς ἐστι τῶν μιχθέντων ἢ σύνθεσις, τὴν δὲ ψυχὴν οὐδέτερον οἷόν τ' εἶναι τούτων. ἔτι δὲ τὸ κινεῖν οὐκ ἔστιν ἁρμονίας, ψυχῇ δὲ πάντες ἀπονέμουσι τοῦτο μάλισθ' ὡς εἰπεῖν. ἁρμόζει δὲ μᾶλλον 408a καθ' ὑγιείας λέγειν ἁρμονίαν, καὶ ὅλως τῶν σωματικῶν ἀρετῶν, ἢ κατὰ ψυχῆς. φανερώτατον δ' εἴ τις ἀποδιδόναι πειραθείη τὰ πάθη καὶ τὰ ἔργα τῆς ψυχῆς ἁρμονίᾳ τινί· χαλεπὸν γὰρ ἐφαρμόζειν. ἔτι δ' εἰ λέγομεν τὴν

24. εἶδος σῶμα καὶ e solo E scripsi, ceteri scripti et impressi om. σῶμα || δὴ SX, δή τι TVW et Them. || 27. de loco 27. . . . 408a, 29. cf. Bon., Hermes VII, p. 428 sqq. || 28. πολλοῖς καὶ οὐδεμιᾶς TW pr. y Soph. || ἧττων TVWXy et corr. S Soph., πιθανὴ μὲν οὐδεμιᾶς ἧσσον Them. || λόγοις V, λόγον coni. Torst., λόγους δ' omittendum censet Bernays, die Dialoge des Arist. p. 15, cui assentitur Haecker (Zeitschr. f. Gym. 1864, p. 204), λόγους leg. Philop. Soph., non legisse videtur Them. || 29. εὐθύνας δὲ coni. Bernays l. l. || γινομένοις λόγοις] sic etiam Simpl., λεγομένοις λόγοις W Philop., λεγομένοις S || 30. αὐτήν τινες VWy, τινες etiam Them. et Philop. legisse videntur || 32. γε om. E Soph. Torst. || 408a, 1. ἀπονέμουσιν ἅπαντες τοῦτο STVWy, ἅπαντες ἀπ. τ. X, πάντες etiam Soph. || 3. φανερωτάτων E, φανερώτατον corr. E2 (Zapf.) || 5. λέγομεν pr. E (Trend.) STVX et, ut videtur, Soph., Torst. Bon., stud. Arist. II, III. p. 61,

ἁρμονίαν εἰς δύο ἀποβλέποντες, κυριώτατα μὲν τῶν μεγεθῶν ἐν τοῖς ἔχουσι κίνησιν καὶ θέσιν τὴν σύνθεσιν αὐτῶν, ἐπειδὰν οὕτω συναρμόζωσιν ὥστε μηδὲν συγγενὲς παραδέχεσθαι, ἐντεῦθεν δὲ καὶ τὸν τῶν μεμιγμένων λόγον, οὐδετέρως μὲν οὖν εὔλογον, ἡ δὲ σύνθεσις τῶν τοῦ σώματος μερῶν λίαν εὐεξέταστος. πολλαί τε γάρ αἱ συνθέσεις τῶν μερῶν καὶ πολλαχῶς· τίνος οὖν ἢ πῶς ὑπολαβεῖν τὸν νοῦν χρὴ σύνθεσιν εἶναι, ἢ καὶ τὸ αἰσθητικὸν ἢ ὀρεκτικόν; ὁμοίως δὲ ἄτοπον καὶ τὸ τὸν λόγον τῆς μίξεως εἶναι τὴν ψυχήν· οὐ γὰρ τὸν αὐτὸν ἔχει λόγον ἡ μίξις τῶν στοιχείων καθ' ἣν σὰρξ καὶ καθ' ἣν ὀστοῦν. συμβήσεται οὖν πολλάς τε ψυχὰς ἔχειν καὶ κατὰ πᾶν τὸ σῶμα, εἴπερ πάντα μὲν ἐκ τῶν στοιχείων μεμιγμένων, ὁ δὲ τῆς μίξεως λόγος ἁρμονία καὶ ψυχή. ἀπαιτήσειε δ' ἄν τις τοῦτό γε καὶ παρ' Ἐμπεδοκλέους· ἕκαστον γὰρ αὐτῶν λόγῳ τινί φησιν εἶναι· πότερον οὖν ὁ λόγος ἐστὶν ἡ ψυχή, ἢ μᾶλλον ἕτερόν τι οὖσα ἐγγίνεται τοῖς μέρεσιν; ἔτι δὲ πότερον ἡ φιλία τῆς τυχούσης αἰτία μίξεως ἢ τῆς κατὰ τὸν λόγον; καὶ αὕτη πότερον ὁ λόγος ἐστὶν ἢ παρὰ τὸν λόγον ἕτερόν τι; ταῦτα μὲν οὖν ἔχει τοιαύτας ἀπορίας. εἰ δ' ἐστὶν ἕτερον ἡ ψυχὴ τῆς μίξεως, τί δή ποτε ἅμα τῷ σαρκὶ εἶναι ἀναιρεῖται καὶ τῷ τοῖς ἄλλοις μορίοις τοῦ ζῴου; πρὸς δὲ τούτοις εἴπερ

ἔτι δὲ λέγομεν Madvig l. l. 471, reliqui *λέγοιμεν* ‖ 8. *συνγενέσθαι* E, *μηδὲν μὴ συγγενὲς* coni. Steinhart l. l., *μηδὲν ⟨μήτε συγγενὲς μήτε μὴ⟩ συγγενὲς* coni. Susemihl, Burs. Jahrb. XVII, 261 ‖ 9. post *λόγον* punctum Bek., colon Torst., virgulam Trend. ‖ 11. *μερῶν*] *πολλῶν* nunc E, subfuisse videtur *μερῶν* (Stapf.) ‖ *αἱ* om. TV ‖ 12. *χρὴ τὸν νοῦν* STVWy ‖ 13. *καὶ τὸ λόγον* VX, quod probat Bon., stud. Arist. I. p. 97, not. 1, *καὶ τὸ τὸν λόγον* Soph., quod in textum recepi, malunt etiam Torst. et Bon., stud. Arist. II, III. p. 61, reliqui *καὶ τὸν λόγον* ‖ 18. *ἀπαιτήσειε* . . . . 28. *ἀπολειπούσης* in parenth. Torst. ‖ 19. *αὐτῶν ἐν λόγῳ* Wy Soph. ‖ 21. *μέρεσιν* pr. EW et, ut videtur, y, Torst., *μέλεσιν* rc. EST UV Bek. Trend., *μιχθεῖσι* X Philop. Soph. ‖ 26. *τὸ* T et in interpr. Philop. Simpl., om. SVW, *τῷ* in interpr. etiam Them. Soph.

ie not maths.

1) réunies de telle sorte qu'on ne peut insérer entre elles aucune autre chose de même nature sans d
la symétrie – des parties non homoeomères (2) des parties homoeomères

6. 1a

2 λυομενον του λογου της σαρκα.

?
The soul moves only accidentally. Emotional & intellective processes not motions of the soul.

W. H. Davies.

μὴ ἕκαστον τῶν μορίων ψυχὴν ἔχει, εἰ μή ἐστιν ἡ ψυχὴ ὁ λόγος τῆς μίξεως, τί ἐστιν ὃ φθείρεται τῆς ψυχῆς ἀπολειπούσης;

ὅτι μὲν οὖν οὔθ' ἁρμονίαν οἷόν τ' εἶναι τὴν ψυχὴν οὔτε κύκλῳ περιφέρεσθαι, δῆλον ἐκ τῶν εἰρημένων. κατὰ συμβεβηκὸς δὲ κινεῖσθαι, καθάπερ εἴπομεν, ἔστι καὶ κινεῖν ἑαυτήν, οἷον κινεῖσθαι μὲν ἐν ᾧ ἐστί, τοῦτο δὲ κινεῖσθαι ὑπὸ τῆς ψυχῆς· ἄλλως δ' οὐχ οἷόν τε κινεῖσθαι κατὰ τόπον αὐτήν. εὐλογώτερον δ' ἀπορήσειεν ἄν τις περὶ αὐτῆς ὡς κινουμένης, εἰς τὰ τοιαῦτα ἀποβλέψας. φαμὲν γὰρ τὴν ψυχὴν 408b λυπεῖσθαι χαίρειν, θαρρεῖν φοβεῖσθαι, ἔτι δὲ ὀργίζεσθαί τε καὶ αἰσθάνεσθαι καὶ διανοεῖσθαι· ταῦτα δὲ πάντα κινήσεις εἶναι δοκοῦσιν. ὅθεν οἰηθείη τις ἂν αὐτὴν κινεῖσθαι· τὸ δ' οὐκ ἔστιν ἀναγκαῖον. εἰ γὰρ καὶ ὅτι μάλιστα τὸ λυπεῖσθαι ἢ χαίρειν ἢ διανοεῖσθαι κινήσεις εἰσὶ καὶ ἕκαστον κινεῖσθαι τούτων, τὸ δὲ κινεῖσθαί ἐστιν ὑπὸ τῆς ψυχῆς, οἷον τὸ ὀργίζεσθαι ἢ φοβεῖσθαι τὸ τὴν καρδίαν ὡδὶ κινεῖσθαι, τὸ δὲ διανοεῖσθαι ἢ τὸ τοῦτο ἴσως ἢ ἕτερόν τι, τούτων δὲ συμβαίνει τὰ μὲν κατὰ φορὰν τινῶν κινουμένων, τὰ δὲ κατ' ἀλλοίωσιν (ποῖα δὲ καὶ πῶς, ἕτερός ἐστι λόγος)· τὸ δὴ λέγειν ὀργίζεσθαι τὴν ψυχὴν ὅμοιον κἂν εἴ τις λέγοι τὴν ψυ-

28. *τί ἐστιν ὃ φθείρεται* videntur corrupta Torst., tuentur haec verba praeter omnes codd. Them. Philop. Soph., egregie totum hunc locum explicavit Bon., Hermes VII p. 435 || *ἀπολιπούσης* T V X y, *ἀπολειπούσης* in paraphr. Simpl. Soph. || 408b, 3. *τε* om. V || 5. de hoc loco *εἰ γὰρ* .... 11. *τὸ δὴ* vide Bon., stud. Arist. II, III. p. 22 sqq., quem in textu restituendo secutus sum || 7. pro *δὲ* coni. *δὴ* et a verbis *τὸ δὴ* apodosin incipere vult Susemihl l. l. || 8. *τὸ τὴν κ.* V Bon. l. l., reliqui omnes *τῷ τὴν κ.* || 9. *ἢ τοιοῦτον* libri scripti et impressi omnes, etiam Philop., *ἢ τῷ τοῦτο* coni. Torst., *ἢ τὸ τοῦτο* coni. Bon., quod recepi || *τούτων* . . . 11. *λόγος* in parenth. Susemihl, Burs. Jahrb. IX, 351 || 11. *ποῖαι* E, litera *ι* inserta quidem sed aperte a prima manu (Trend.), etiam Philop. || (*ποῖα* . . . *λόγος*) in parenth. Bon. || *τὸ δὴ* S T Bon., qui ab his verbis apodosin incipit ad *εἰ γὰρ* 5., quod jam Philop. diserte fecerat, *τὸ δὲ* reliqui omnes, etiam Philop.

χὴν ὑφαίνειν ἢ οἰκοδομεῖν· βέλτιον γὰρ ἴσως μὴ λέγειν τὴν ψυχὴν ἐλεεῖν ἢ μανθάνειν ἢ διανοεῖσθαι, ἀλλὰ τὸν ἄνθρωπον τῇ ψυχῇ· τοῦτο δὲ μὴ ὡς ἐν ἐκείνῃ τῆς κινήσεως οὔσης, ἀλλ' ὁτὲ μὲν μέχρι ἐκείνης, ὁτὲ δ' ἀπ' ἐκείνης, οἷον ἡ μὲν αἴσθησις ἀπὸ τωνδί, ἡ δ' ἀνάμνησις ἀπ' ἐκείνης ἐπὶ τὰς ἐν τοῖς αἰσθητηρίοις κινήσεις ἢ μονάς. ὁ δὲ νοῦς ἔοικεν ἐγγίνεσθαι οὐσία τις οὖσα, καὶ οὐ φθείρεσθαι. μάλιστα γὰρ ἐφθείρετ' ἂν ὑπὸ τῆς ἐν τῷ γήρᾳ ἀμαυρώσεως, νῦν δ' ἴσως ὅπερ ἐπὶ τῶν αἰσθητηρίων συμβαίνει· εἰ γὰρ λάβοι ὁ πρεσβύτης ὄμμα τοιονδί, βλέποι ἂν ὥσπερ καὶ ὁ νέος. ὥστε τὸ γῆρας οὐ τῷ τὴν ψυχήν τι πεπονθέναι, ἀλλ' ἐν ᾧ, καθάπερ ἐν μέθαις καὶ νόσοις. καὶ τὸ νοεῖν δὴ καὶ τὸ θεωρεῖν μαραίνεται ἄλλου τινὸς ἔσω φθειρομένου, αὐτὸ δὲ ἀπαθές ἐστιν. τὸ δὲ διανοεῖσθαι καὶ φιλεῖν ἢ μισεῖν οὐκ ἔστιν ἐκείνου πάθη, ἀλλὰ τουδὶ τοῦ ἔχοντος ἐκεῖνο, ᾗ ἐκεῖνο ἔχει. διὸ καὶ τούτου φθειρομένου οὔτε μνημονεύει οὔτε φιλεῖ· οὐ γὰρ ἐκείνου ἦν, ἀλλὰ τοῦ κοινοῦ, ὃ ἀπόλωλεν· ὁ δὲ νοῦς ἴσως θειότερόν τι καὶ ἀπαθές ἐστιν.

ὅτι μὲν οὖν οὐχ οἷόν τε κινεῖσθαι τὴν ψυχήν, φανερὸν ἐκ τούτων· εἰ δ' ὅλως μὴ κινεῖται, δῆλον ὡς οὐδ' ὑφ' ἑαυτῆς. πολὺ δὲ τῶν εἰρημένων ἀλογώτατον τὸ λέγειν ἀριθμὸν εἶναι τὴν ψυχὴν κινοῦνθ' ἑαυτόν· ὑπάρχει γὰρ αὐτοῖς ἀδύνατα πρῶτα μὲν τὰ ἐκ τοῦ κινεῖσθαι συμβαίνοντα, ἴδια δ' ἐκ τοῦ
409a λέγειν αὐτὴν ἀριθμόν. πῶς γὰρ χρὴ νοῆσαι μονάδα κινου-

15. οὔσης om. pr. E, sed ab antiqua manu insertum (Trend.) ‖ 16. μέχρις TVWX Philop. ‖ 19. οὖσα om. pr. E, sed ab antiqua manu insertum (Trend.), leg. etiam Them. Philop. ‖ 20. νυνὶ δ' ὥσπερ STVWXy, ὥσπερ etiam Soph., νῦν δὲ ὅπερ Them. 54, 1 ‖ 22. E superscr. οἷον νέος post τοιονδί est interpretamentum (Bhl.) ‖ 25. ἔσω] ἔξω coni. Steinhart, ἐν ᾧ coni. Bon. l. l., ἔσω tuentur etiam Simpl. p. 60, 30, Philop. Soph., Them. εἴσω p. 54, 6 et 55, 5, ἔσω retineri volunt etiam Zeller, Gesch. d. Ph. d. Gr. II, 2, p. 570 et Neuhäuser, Arist. Lehre von dem sinnl. Erkenntnisvermögen, p. 12 ‖ 34. ἴδια E (Bus.) Simpl. p. 65, 17. Soph. et, ut videtur, Philop., ἰδίᾳ reliqui et scripti et impressi, etiam Them., ἴδια defendit Vahlen in ed. art. poet. 107.

i.e. τὸ μὴ ἐνδεχόμενον ὑπάρχειν.

cp. beginning Eth VIII

The Soul not a number moving itself.

Xenocrates.

... movement

∴ the passions & affections of the soul will be lines q.e.abs.

∵ as soon as you have movement you have situation in space Th

whereas numbers are specifically different

punctum per se seorsim non tangunt lineae terminus.

since place is the only thing which distinguishes them

μένην, καὶ ὑπὸ τίνος, καὶ πῶς, ἀμερῆ καὶ ἀδιάφορον οὖσαν; εἰ γάρ ἐστι κινητικὴ καὶ κινητή, διαφέρειν δεῖ. ἔτι δ' ἐπεί φασι κινηθεῖσαν γραμμὴν ἐπίπεδον ποιεῖν, στιγμὴν δὲ γραμμήν, καὶ αἱ τῶν μονάδων κινήσεις γραμμαὶ ἔσονται· ἡ γὰρ στιγμὴ μονάς ἐστι θέσιν ἔχουσα· ὁ δ' ἀριθμὸς τῆς ψυχῆς ἤδη πού ἐστι καὶ θέσιν ἔχει. ἔτι δ' ἀριθμοῦ μὲν ἐὰν ἀφέλῃ τις ἀριθμὸν ἢ μονάδα, λείπεται ἄλλος ἀριθμός· τὰ δὲ φυτὰ καὶ τῶν ζῴων πολλὰ διαιρούμενα ζῇ καὶ δοκεῖ τὴν αὐτὴν ψυχὴν ἔχειν τῷ εἴδει. δόξειε δ' ἂν οὐθὲν διαφέρειν μονάδας λέγειν ἢ σωμάτια μικρά· καὶ γὰρ ἐκ τῶν Δημοκρίτου σφαιρίων ἐὰν γένωνται στιγμαί, μόνον δὲ μένῃ τὸ ποσόν, ἔσται τι ἐν αὐτῷ τὸ μὲν κινοῦν τὸ δὲ κινούμενον, ὥσπερ ἐν τῷ συνεχεῖ· οὐ γὰρ διὰ τὸ μεγέθει διαφέρειν ἢ μικρότητι συμβαίνει τὸ λεχθέν, ἀλλ' ὅτι ποσόν. διὸ ἀναγκαῖον εἶναί τι τὸ κινῆσον τὰς μονάδας. εἰ δ' ἐν τῷ ζῴῳ τὸ κινοῦν ἡ ψυχή, καὶ ἐν τῷ ἀριθμῷ, ὥστε οὐ τὸ κινοῦν καὶ τὸ κινούμενον ἡ ψυχή, ἀλλὰ τὸ κινοῦν μόνον. ἐνδέχεται δὲ δή πῶς μονάδα ταύτην εἶναι; δεῖ γὰρ ὑπάρχειν τινὰ αὐτῇ διαφορὰν πρὸς τὰς ἄλλας. στιγμῆς δὲ μοναδικῆς τίς ἂν εἴη διαφορὰ πλὴν θέσις; εἰ μὲν οὖν εἰσὶν ἕτεραι αἱ ἐν τῷ σώματι μονάδες καὶ αἱ στιγμαί, ἐν τῷ αὐτῷ ἔσονται αἱ μονάδες· καθέξει γὰρ χώραν στιγμῆς. καίτοι τί κωλύει ἐν τῷ αὐτῷ εἶναι, εἰ δύο, καὶ ἀπείρους; ὧν γὰρ ὁ τόπος ἀδιαίρετος,

3. *εἰ γὰρ*] *ἢ* T, *ἤ* X, *ἢ μὲν γὰρ* Soph. ‖ 10. *αὐτὴν* om. E ‖ *ἔχειν ψυχὴν* STUVy Them. ‖ 11. *σμικρὰ* ST Them., *μικρὰ* etiam Soph. ‖ 12. *σφαιρῶν* TX et rc. E, *σφαιρίων* reliqui codd. et, ut videtur, pr. E (Trend.) ‖ 14. *συνεχεῖ*] *μεγέθει* TWy Soph. ‖ 15. *σμικρότητι* plerique codd., etiam Them. Soph., *μικρότητι* E (Zapf.) Bek. Trend. Torst. ‖ 16. *κινῆσαν* TWy, *κινῆσον* etiam Soph. ‖ 17. *τὸ* post *καὶ* om. SUWXy ‖ 18. *δὲ* om. SVWXy, leg. Them. ‖ 19. *πῶς* Them. Trend. Torst., *πως* (enclit.) et post *εἶναι* colon Bek. ‖ 22. *καὶ αἱ*] *καὶ* SUVWy, *ἢ* T et rc. E, *καὶ αἱ* pr. E (Trend.), *ἕτεραι αἱ ἐν τῷ σώματι στιγμαὶ καὶ αἱ μονάδες* coni. Christ ‖ 23. *κωλύσει* VW Them. Trend., *κωλύει* etiam Simpl. Soph.

καὶ αὐτά. εἰ δ' αἱ ἐν τῷ σώματι στιγμαὶ ὁ ἀριθμὸς ὁ τῆς ψυχῆς, ἢ εἰ ὁ τῶν ἐν τῷ σώματι στιγμῶν ἀριθμὸς ἡ ψυχή, διὰ τί οὐ πάντα ψυχὴν ἔχουσι τὰ σώματα; στιγμαὶ γὰρ ἐν ἅπασι δοκοῦσιν εἶναι καὶ ἄπειροι. ἔτι δὲ πῶς οἷόν τε χωρίζεσθαι τὰς στιγμὰς καὶ ἀπολύεσθαι τῶν σωμάτων, εἴ γε μὴ διαιροῦνται αἱ γραμμαὶ εἰς στιγμάς;

Συμβαίνει δέ, καθάπερ εἴπομεν, τῇ μὲν ταὐτὸ λέγειν 5
τοῖς σῶμά τι λεπτομερὲς αὐτὴν τιθεῖσι, τῇ δ', ὥσπερ Δη-
409b μόκριτος κινεῖσθαί φησιν ὑπὸ τῆς ψυχῆς, ἴδιον τὸ ἄτοπον. εἴπερ γάρ ἐστιν ἡ ψυχὴ ἐν παντὶ τῷ αἰσθανομένῳ σώματι, ἀναγκαῖον ἐν τῷ αὐτῷ δύο εἶναι σώματα, εἰ σῶμά τι ἡ ψυχή· τοῖς δ' ἀριθμὸν λέγουσιν, ἐν τῇ μιᾷ στιγμῇ πολλὰς στιγμάς, ἢ πᾶν σῶμα ψυχὴν ἔχειν, εἰ μὴ διαφέρων τις ἀριθμὸς ἐγγίνεται καὶ ἄλλος τις τῶν ὑπαρχουσῶν ἐν τοῖς σώμασι στιγμῶν. συμβαίνει τε κινεῖσθαι τὸ ζῷον ὑπὸ τοῦ ἀριθμοῦ, καθάπερ καὶ Δημόκριτον αὐτὸ ἔφαμεν κινεῖν· τί γὰρ διαφέρει σφαίρας λέγειν μικρὰς ἢ μονάδας μεγάλας, ἢ ὅλως μονάδας φερομένας; ἀμφοτέρως γὰρ ἀναγκαῖον κινεῖν τὸ ζῷον τῷ κινεῖσθαι ταύτας. τοῖς δὴ συμπλέξασιν εἰς τὸ αὐτὸ κίνησιν καὶ ἀριθμὸν ταῦτά τε συμβαίνει καὶ πολλὰ ἕτερα τοιαῦτα· οὐ γὰρ μόνον ὁρισμὸν ψυχῆς

25. ὁ prius om. X, alterum insert. E_2 || 26. ὁ τῶν E Them. Philop. Simpl. Soph., ceteri et scripti et impressi ὁ ἐκ τῶν, ἐκ insert. E_2 || 29. ψυχὰς STU, στιγμὰς E (Bus.) et VWXy Soph. vet. transl. et, ut videtur, Philop., Torst. || 30. γε om. E || εἰς τὰς στ. TW || 31. falso hic incipitur novum caput. || δὲ καὶ καθ. E, pro δὲ coni. δὴ Susemihl l. l. || 409b, 1. ἴδιον om. S, τὸ om. X, verba ἴδιον τὸ ἄτοπον unc. incl. Torst., legerunt Philop. et sine dubio Them. et Simpl., tuetur Vahlen in ed. art. poet. 107, non legisse videtur Soph. || 2. περ om. E || σώματι om. Wy, leg. Philop. Soph. || 5. pro ἢ coni. Torst. καί, ἢ in interpr. Simpl. Philop., defendit ἢ Dittenberger Gött. gelehrte Anz. 1863, p. 1615 || 7. τοῖς σώμασι E Torst., reliqui τῷ σώματι || συμβαίνῃ E (Bek.), συμβαίνει E (Bus.) || τε] δὲ UX, om. S. || 8. αὐτὸ ἔφαμεν EX, ἔφαμεν αὐτὸ reliqui et scripti et impressi || 9. μικρὰς E (Bus.) y, reliqui omnes σμικρὰς || 11. ταύτας E Soph. Bek. Torst., reliqui αὐτάς.

the point only separable by abstraction.

Further difficulties agst the same theory.

cognitive aspect insisted on in comparing the soul of all elements.

[illegible]

[illegible]

[illegible]

[illegible]

ἀδύνατον τοιοῦτον εἶναι, ἀλλὰ καὶ συμβεβηκός. δῆλον δ' εἴ τις ἐπιχειρήσειεν ἐκ τοῦ λόγου τούτου τὰ πάθη καὶ τὰ ἔργα τῆς ψυχῆς ἀποδιδόναι, οἷον λογισμούς, αἰσθήσεις, ἡδονάς, λύπας, ὅσα ἄλλα τοιαῦτα· ὥσπερ γὰρ εἴπομεν πρότερον, οὐδὲ μαντεύσασθαι ῥάδιον ἐξ αὐτῶν.

τριῶν δὲ τρόπων παραδεδομένων καθ' οὓς ὁρίζονται τὴν ψυχήν, οἱ μὲν τὸ κινητικώτατον ἀπεφήναντο τῷ κινεῖν ἑαυτό, οἱ δὲ σῶμα τὸ λεπτομερέστατον ἢ τὸ ἀσωματώτατον τῶν ἄλλων. ταῦτα δὲ τίνας ἀπορίας τε καὶ ὑπεναντιώσεις ἔχει, διεληλύθαμεν σχεδόν. λείπεται δ' ἐπισκέψασθαι πῶς λέγεται τὸ ἐκ τῶν στοιχείων αὐτὴν εἶναι. λέγουσι μὲν γάρ, ἵν' αἰσθάνηταί τε τῶν ὄντων καὶ ἕκαστον γνωρίζῃ, ἀναγκαῖον δὲ συμβαίνειν πολλὰ καὶ ἀδύνατα τῷ λόγῳ. τίθενται γὰρ γνωρίζειν τῷ ὁμοίῳ τὸ ὅμοιον, ὥσπερ ἂν εἰ τὴν ψυχὴν τὰ πράγματα τιθέντες. οὐκ ἔστι δὲ μόνα ταῦτα, πολλὰ δὲ καὶ ἕτερα, μᾶλλον δ' ἴσως ἄπειρα τὸν ἀριθμὸν τὰ ἐκ τούτων. ἐξ ὧν μὲν οὖν ἐστιν ἕκαστον τούτων, ἔστω γινώσκειν τὴν ψυχὴν καὶ αἰσθάνεσθαι· ἀλλὰ τὸ σύνολον τίνι γνωριεῖ ἢ αἰσθήσεται, οἷον τί θεὸς ἢ ἄνθρωπος ἢ σὰρξ ἢ ὀστοῦν; ὁμοίως δὲ καὶ ἄλλο ὁτιοῦν τῶν συνθέτων· οὐ γὰρ ὁπωσοῦν ἔχοντα τὰ στοιχεῖα τούτων ἕκαστον, ἀλλὰ λόγῳ τινὶ καὶ συνθέσει, καθάπερ φησὶ καὶ Ἐμπεδοκλῆς τὸ ὀστοῦν·

ἡ δὲ χθὼν ἐπίηρος ἐν εὐστέρνοις χοάνοισιν
τῶν δύο τῶν ὀκτὼ μερέων λάχε νήστιδος αἴγλης,
τέσσαρα δ' Ἡφαίστοιο· τὰ δ' ὀστέα λευκὰ γένοντο.

18. μαντεύεσθαι STUVWy, μαντεύσασθαι etiam Them. Soph. et, ut videtur, Philop. ‖ 22. τε om. VW Philop. ‖ 24. ἵν' om. pr. E ‖ αἴσθηται TW et corr. E (Trend.), αἰσθάνηται etiam Them. Soph. ‖ 31. τίνι .. ἢ] οὐ .. οὐδ' WX ‖ 410a, 1. ὅτι οὖν ἄλλο excepto E omnes codd., etiam Soph. Trend. ‖ 2. τούτων] τῶν pr. E (Trend.) ‖ 5. τὰ δύο V et rc. E Bek. Trend., τὰς δύο W et Alex. in comment. ad. metaph. p. 99 (ed. Bon.), τὼ δύο, quod iam Steinhart l. l. coniecerat, scripsit Torst., τῶν δύο STUX et pr. E (Bhl.), etiam Them. Philop. Soph. ‖ μοιράων UVWy et rc. E Philop., μερέων ut videtur pr. E (Trend.) et Alex. l. l. Them. Soph. ‖ 6. λεύκ' SUX Alex. l. l.

οὐδὲν οὖν ὄφελος ἐνεῖναι τὰ στοιχεῖα ἐν τῇ ψυχῇ, εἰ μὴ καὶ οἱ λόγοι ἐνέσονται καὶ ἡ σύνθεσις· γνωριεῖ γὰρ ἕκαστον τὸ ὅμοιον, τὸ δ' ὀστοῦν ἢ τὸν ἄνθρωπον οὐθέν, εἰ μὴ καὶ ταῦτ' ἐνέσται. τοῦτο δ' ὅτι ἀδύνατον, οὐθὲν δεῖ λέγειν· τίς γὰρ ἂν ἀπορήσειεν εἰ ἔνεστιν ἐν τῇ ψυχῇ λίθος ἢ ἄνθρωπος; ὁμοίως δὲ καὶ τὸ ἀγαθὸν καὶ τὸ μὴ ἀγαθόν· τὸν αὐτὸν δὲ τρόπον καὶ περὶ τῶν ἄλλων. ἔτι δὲ πολλαχῶς λεγομένου τοῦ ὄντος (σημαίνει γὰρ τὸ μὲν τόδε τι, τὸ δὲ ποσὸν ἢ ποιὸν ἢ καί τινα ἄλλην τῶν διαιρεθεισῶν κατηγοριῶν) πότερον ἐξ ἁπάντων ἔσται ἡ ψυχὴ ἢ οὔ; ἀλλ' οὐ δοκεῖ κοινὰ πάντων εἶναι στοιχεῖα. ἆρ' οὖν ὅσα τῶν οὐσιῶν, ἐκ τούτων μόνον; πῶς οὖν γινώσκει καὶ τῶν ἄλλων ἕκαστον; ἢ φήσουσιν ἑκάστου γένους εἶναι στοιχεῖα καὶ ἀρχὰς ἰδίας, ἐξ ὧν τὴν ψυχὴν συνεστάναι; ἔσται ἄρα ποσὸν καὶ ποιὸν καὶ οὐσία. ἀλλ' ἀδύνατον ἐκ τῶν τοῦ ποσοῦ στοιχείων οὐσίαν εἶναι καὶ μὴ ποσόν. τοῖς δὴ λέγουσιν ἐκ πάντων ταῦτά τε καὶ τοιαῦθ' ἕτερα συμβαίνει. ἄτοπον δὲ καὶ τὸ φάναι μὲν ἀπαθὲς εἶναι τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου, αἰσθάνεσθαι δὲ τὸ ὅμοιον τοῦ ὁμοίου καὶ γινώσκειν τῷ ὁμοίῳ τὸ ὅμοιον· τὸ δ' αἰσθάνεσθαι πάσχειν τι καὶ κινεῖσθαι τιθέασιν· ὁμοίως δὲ καὶ τὸ νοεῖν τε καὶ γινώσκειν. πολλὰς δ' ἀπορίας καὶ δυσχερείας ἔχοντος τοῦ λέγειν, καθάπερ Ἐμπεδοκλῆς, ὡς τοῖς σωματικοῖς στοιχείοις ἕκαστα γνωρίζεται, καὶ πρὸς τὸ ὅμοιον, μαρτυρεῖ τὸ νῦν λεχθέν·

Them. Soph. Bek. Trend. ‖ ἐγένοντο SUX, Alex. Them. Soph. Bek. Trend., γένοντο nunc E, sed ante γ est una littera erasa (Bhl.) ‖ 7. ἐνεῖναι solus E_1, Torst., ceteri codd. εἶναι, etiam Soph. ‖ 11. ἐστιν UWX, ἔνεστιν etiam Soph. ‖ ὁμοίως... 12. μὴ ἀγαθόν unc. incl. Susemihl l. l. ‖ 13. ἐπὶ τῶν TX Simpl. ‖ 17. τὰ στοιχ. Ey Them., τὰ om. Soph. ‖ μόνων STUVX ‖ 20. ἔσται... οὐσία Torst. suspecta sunt, agnoscunt haec verba et eodem quidem loco Philop. Simpl. Soph., post 21. ποσόν posuit Belger ‖ 25. δ'] γὰρ TX Susemihl ‖ τε E Soph., reliqui τι, etiam Philop. ‖ κινεῖν E, ποιεῖν UX ‖ 26. τε om. E, τι V, leg. τε etiam Soph. ‖ 29. πρὸς τὸ ὅμοιον, sic omnes codd., „et ad simile" vet. transl., pro his τῷ ὁμοίῳ τὸ ὅμοιον scripsit Torst.

[illegible]

minimus esse non potest quod harum categoriarum sit commune, nihil enim est commune quod complectatur cunctas Tr.
[illegible] - [illegible].

Wh has been proved impossible. R. R. ?

les vivants.

the the motive & the cognitive explanations fail to account for all forms of life.
i whole of the soul.

ὅσα γάρ ἐστιν ἐν τοῖς τῶν ζῴων σώμασιν ἁπλῶς γῆς, οἷον ὀστᾶ νεῦρα τρίχες, οὐθενὸς αἰσθάνεσθαι δοκεῖ, ὥστ' οὐδὲ τῶν ὁμοίων· καίτοι προσῆκεν. ἔτι δ' ἑκάστῃ τῶν ἀρχῶν ἄγνοια πλείων ἢ σύνεσις ὑπάρξει· γνώσεται μὲν γὰρ ἓν ἕκαστον, πολλὰ δ' ἀγνοήσει· πάντα γὰρ τἆλλα. συμβαίνει δ' Ἐμπεδοκλεῖ γε καὶ ἀφρονέστατον εἶναι τὸν θεόν· μόνος γὰρ τῶν στοιχείων ἓν οὐ γνωρίζει, τὸ νεῖκος, τὰ δὲ θνητὰ πάντα· ἐκ πάντων γὰρ ἕκαστον. ὅλως τε διὰ τίν' αἰτίαν οὐχ ἅπαντα ψυχὴν ἔχει τὰ ὄντα, ἐπειδὴ πᾶν ἤτοι στοιχεῖον ἢ ἐκ στοιχείου ἑνὸς ἢ πλειόνων ἢ πάντων; ἀναγκαῖον γάρ ἐστιν ἕν τι γινώσκειν ἢ τινὰ ἢ πάντα. ἀπορήσειε δ' ἄν τις καὶ τί ποτ' ἐστὶ τὸ ἑνοποιοῦν αὐτά· ὕλῃ γὰρ ἔοικε τά γε στοιχεῖα· κυριώτατον γὰρ ἐκεῖνο τὸ συνέχον ὅ τί ποτ' ἐστίν· τῆς δὲ ψυχῆς εἶναί τι κρεῖττον καὶ ἄρχον ἀδύνατον· ἀδυνατώτερον δ' ἔτι τοῦ νοῦ· εὔλογον γὰρ τοῦτον εἶναι προγενέστατον καὶ κύριον κατὰ φύσιν, τὰ δὲ στοιχεῖά φασι πρῶτα τῶν ὄντων εἶναι. πάντες δὲ καὶ οἱ διὰ τὸ γνωρίζειν καὶ αἰσθάνεσθαι τὰ ὄντα

Sophoniam secutus || λεχθησόμενον T et corr. Uy, Soph. interpretatur τὸ ἑξῆς λεχθησόμενα, λεχθὲν etiam Simpl. Philop. vet. transl., verba μαρτυρεῖ τὸ νῦν λεχθὲν unc. inclusit Torst. || 30. ἔνεστιν STUV, Bek. Trend., ἐστιν etiam Philop. Soph. Torst. || 410b, 2. προσῆκεν τὰ νεῦρα καὶ τὰς τρίχας γεηρὰ ὄντα τῶν ὁμοίων αἰσθάνεσθαι. ἔτι W, de his nihil veteres interpretes || 3. πλέον SUVWXy Soph., πλείων etiam Them. || ὑπάρχει WX || ἑκάστη TWX Soph. || 4. πάντα γὰρ τἆλλα om. pr. E, leg. Them. et sine dubio Soph., Dittenberger l. l. p. 1614 ut superflua omitti vult. || 6. γνωρίζει solus E, Torst., cui assentitur Noetel, Zeitschr. f. Gym. 1864 p. 141, reliqui γνωριεῖ, etiam Them. Soph. || ἐκ πάντων γὰρ ἕκαστον unc. incl. Torst., praeter omnes codd. tuentur haec verba Them., et, ut videtur, Philop., defendit Dittenberger, Progr. Rudolstadt 1869, p. 19 || 7. δὲ STUVW, τε etiam Them. et, ut videtur, Soph. || 8. πᾶν om. pr. E, leg. Soph., πάντα Them. || ἤτοι στοιχεῖον scripsi ex solo E (Bus.), reliqui omnes ἢ στ. || 9. ἢ ἐκ πλ. TVW || ἕν τι] ἓν SUX, ἢ ἓν W || 11. γε om. STWX || 12. γὰρ E, sed in rasura, Bek. δὲ subfuisse coni. (Trend.), γὰρ etiam ceteri codd. et Soph., δ' scripsit Torst. || 13. κρεῖσσον EWX.

τὴν ψυχὴν ἐκ τῶν στοιχείων λέγοντες αὐτήν, καὶ οἱ τὸ κινητικώτατον, οὐ περὶ πάσης λέγουσι ψυχῆς. οὔτε γὰρ τὰ αἰσθανόμενα πάντα κινητικά· φαίνεται γὰρ εἶναί τινα μόνιμα τῶν ζῴων κατὰ τόπον· καίτοι δοκεῖ γε ταύτην μόνην τῶν κινήσεων κινεῖν ἡ ψυχὴ τὸ ζῷον. ὁμοίως δὲ καὶ ὅσοι τὸν νοῦν καὶ τὸ αἰσθητικὸν ἐκ τῶν στοιχείων ποιοῦσιν· φαίνεται γὰρ τά τε φυτὰ ζῆν οὐ μετέχοντα φορᾶς οὐδ' αἰσθήσεως, καὶ τῶν ζῴων πολλὰ διάνοιαν οὐκ ἔχειν. εἰ δέ τις καὶ ταῦτα παραχωρήσειε καὶ θείη τὸν νοῦν μέρος τι τῆς ψυχῆς, ὁμοίως δὲ καὶ τὸ αἰσθητικόν, οὐδ' ἂν οὕτω λέγοιεν καθόλου περὶ πάσης ψυχῆς οὐδὲ περὶ ὅλης οὐδεμιᾶς. τοῦτο δὲ πέπονθε καὶ ὁ ἐν τοῖς Ὀρφικοῖς ἔπεσι καλουμένοις λόγος· φησὶ γὰρ τὴν ψυχὴν ἐκ τοῦ ὅλου εἰσιέναι ἀναπνεόντων, φερομένην ὑπὸ τῶν ἀνέμων. οὐχ οἷόν τε δὴ τοῖς φυτοῖς τοῦτο συμβαίνειν οὐδὲ
411a τῶν ζῴων ἐνίοις, εἴπερ μὴ πάντα ἀναπνέουσιν· τοῦτο δὲ λέληθε τοὺς οὕτως ὑπειληφότας. εἴ τε δεῖ τὴν ψυχὴν ἐκ τῶν στοιχείων ποιεῖν, οὐθὲν δεῖ ἐξ ἁπάντων· ἱκανὸν γὰρ θάτερον μέρος τῆς ἐναντιώσεως ἑαυτό τε κρίνειν καὶ τὸ ἀντικείμενον.

18. πάσης E Them. Philop., ἁπάσης ceteri codd. et Soph. ‖ 20. fortasse legendum μόνη annotat Trend., quod probat Susemihl l. l. ‖ 22. τόν νοῦν καὶ τὸ αἰσθητικὸν unc. incl. Torst., tuentur Them. Philop. et Vahlen, Oestr. Gym. Zeitschr. 1868, p. 20 ‖ 23. φορᾶς οὐδ' unc. incl. Torst., leg. etiam Philop. Simpl. et sine dubio Them. ‖ 26. καθόλου om. TUV Torst., tuentur etiam Them. Simpl. et Vahlen l. l. p. 21 ‖ 27. οὐδεμιᾶς] οὐδὲ μιᾶς ETUVW Bek. Trend., μιᾶς (omisso οὐδὲ) Torst. οὐδὲ περὶ μιᾶς SX Simpl. et omissis verbis περὶ ὅλης Soph., οὐδεμιᾶς etiam Them. et sine dubio Philop., qui in interpr. bis περὶ οὐδεμιᾶς ὅλης, semel περὶ μιᾶς ὅλης, semel περὶ ὅλης μιᾶς ‖ 28. καλουμένοις ἔπεσι TVWy Them., καλουμένοις om. S, καλούμενος Soph., λεγομένοις Philop. ‖ λογους E_1, λόγος corr. E_2 (Bhl.) ‖ 30. δὲ TWX et corr. E, Soph., δὴ reliqui et scripti et impressi et E_1 ‖ 411a, 1. δὴ E, δὲ etiam Simpl. et, ut videtur, Them. ‖ 2. εἰ δὲ X Trend., εἴπερ SVW, εἴπερ δὲ T et rc. E, coni. fuisse Bek. εἴ τε δὲ E m. pr. (Trend.), εἴτε U Bek. Torst., εἰ καὶ in interpret. Simpl.

argument dialectique, manque de rigueur. connaissance de la négation, non du contraire !

1ε chaque corps ou élément animé (non pas l'âme du monde)

how far can Ar. himself draw an absolute line.

1ε ὥσπερ τοῦ μὲν ὕδωρ ἔμψυχον, καὶ τὸ πᾶν ὕδωρ. Th.
οὕτω καὶ ψυχ. ἐν τῷ ὅλῳ ἀέρι ὁμοειδὲς μόριον τὸ ἐν ζῴοις. Th.

ἐν τῷ ἔξω ἀέρι

The soul & its parts. independent? impossible.

καὶ γὰρ τῷ εὐθεῖ καὶ αὐτὸ καὶ τὸ καμπύλον γινώσκομεν· κριτὴς γὰρ ἀμφοῖν ὁ κανών, τὸ δὲ καμπύλον οὔθ' ἑαυτοῦ οὔτε τοῦ εὐθέος. καὶ ἐν τῷ ὅλῳ δέ τινες αὐτὴν μεμῖχθαί φασιν, ὅθεν ἴσως καὶ Θαλῆς ᾠήθη πάντα πλήρη θεῶν εἶναι. τοῦτο δ' ἔχει τινὰς ἀπορίας· διὰ τίνα γὰρ αἰτίαν ἐν μὲν τῷ ἀέρι ἢ τῷ πυρὶ οὖσα ἡ ψυχὴ οὐ ποιεῖ ζῷον, ἐν δὲ τοῖς μικτοῖς, καὶ ταῦτα βελτίων ἐν τούτοις εἶναι δοκοῦσα; ἐπιζητήσειε γὰρ ἄν τις καὶ διὰ τίν' αἰτίαν ἡ ἐν τῷ ἀέρι ψυχὴ τῆς ἐν τοῖς ζῴοις βελτίων ἐστὶ καὶ ἀθανατωτέρα. συμβαίνει δ' ἀμφοτέρως ἄτοπον καὶ παράλογον· καὶ γὰρ τὸ λέγειν ζῷον τὸ πῦρ ἢ τὸν ἀέρα τῶν παραλογωτέρων ἐστί, καὶ τὸ μὴ λέγειν ζῷα ψυχῆς ἐνούσης ἄτοπον. ὑπολαβεῖν δ' ἐοίκασιν εἶναι τὴν ψυχὴν ἐν τούτοις, ὅτι τὸ ὅλον τοῖς μορίοις ὁμοειδές· ὥστ' ἀναγκαῖον αὐτοῖς λέγειν καὶ τὴν ψυχὴν ὁμοειδῆ τοῖς μορίοις εἶναι, εἰ τῷ ἀπολαμβάνεσθαί τι τοῦ περιέχοντος ἐν τοῖς ζῴοις ἔμψυχα τὰ ζῷα γίνεται. εἰ δ' ὁ μὲν ἀὴρ διασπώμενος ὁμοειδής, ἡ δὲ ψυχὴ ἀνομοιομερής, τὸ μέν τι αὐτῆς ὑπάρξει δῆλον ὅτι, τὸ δ' οὐχ ὑπάρξει. ἀναγκαῖον οὖν αὐτὴν ἢ ὁμοιομερῆ εἶναι ἢ μὴ ἐνυπάρχειν ἐν ὁτῳοῦν μορίῳ τοῦ παντός.

φανερὸν οὖν ἐκ τῶν εἰρημένων ὡς οὔτε τὸ γινώσκειν ὑπάρχει τῇ ψυχῇ διὰ τὸ ἐκ τῶν στοιχείων εἶναι, οὔτε τὸ κινεῖσθαι αὐτὴν καλῶς οὐδ' ἀληθῶς λέγεται. ἐπεὶ δὲ τὸ γινώ-

8. *ἴσως* om. V Soph., leg. Simpl. ‖ 9. *τίνα μὲν γὰρ* Vy et corr. E, om. *μὲν* Them. ‖ *ἐν μὲν*] *μὲν* om. STVy, leg. Them. ‖ 10. *ἢ ἐν τῷ* STU ‖ 11. *βέλτιον* E, *βελτίων* etiam Soph. ‖ *ἐπιζητήσειε* .... 13. *ἀθανατωτέρα* in parenth. Torst. ‖ 12. *γὰρ*] *δ'* WX Soph. et, ut videtur, Philop., *γὰρ* reliqui, etiam rc. E, sed Bek. coni. fuisse *γ'* (Trend.) ‖ 15. *παραλόγων* SUX, *παραβολωτέρων* ut videtur Philop., *παραλογωτέρων* etiam Them. ‖ *τὸ* om. TUW ‖ 17. *εἶναι* om. SUX, *τὴν ψυχὴν εἶναι* TVWy Them. ‖ *ὅλον ἐν τοῖς* E ‖ 19. *εἶναι* om. pr. E ‖ *ἀπολαμβάνειν* STUWy, tuentur *ἀπολαμβάνεσθαι* Philop. Soph. ‖ 20. *τὰ* om. STUVWy ‖ 22. *ὑπάρξει δῆλον ὅτι* fort. inserta ex margine putat Torst., tuentur etiam Simpl. Philop. ‖ 23. *ἢ* ante *ὁμ*. om. E, leg. Simpl. ‖ 26. *οὐδ' ἀληθῶς* om. pr. E, leg. Soph., Ditten-

σκειν τῆς ψυχῆς ἐστὶ καὶ τὸ αἰσθάνεσθαί τε καὶ τὸ δοξάζειν, ἔτι δὲ τὸ ἐπιθυμεῖν καὶ βούλεσθαι καὶ ὅλως αἱ ὀρέξεις, γίνεται δὲ καὶ ἡ κατὰ τόπον κίνησις τοῖς ζῴοις ὑπὸ τῆς ψυχῆς, ἔτι δ' αὔξη τε καὶ ἀκμὴ καὶ φθίσις, πότερον ὅλῃ τῇ ψυχῇ τούτων ἕκαστον ὑπάρχει, καὶ πάσῃ νοοῦμέν τε καὶ αἰσθανόμεθα καὶ κινούμεθα καὶ τῶν ἄλλων ἕκαστον ποιοῦμέν τε καὶ πάσχομεν, ἢ μορίοις ἑτέροις ἕτερα; καὶ τὸ ζῆν δὴ πότερον ἔν τινι τούτων ἐστὶν ἢ καὶ ἐν πλείοσιν ἢ πᾶσιν, ἢ καὶ ἄλλο τι αἴτιον; λέγουσι δή τινες μεριστὴν αὐτήν, καὶ ἄλλο μὲν νοεῖν ἄλλο δὲ ἐπιθυμεῖν. τί οὖν δή ποτε συνέχει τὴν ψυχήν, εἰ μεριστὴ πέφυκεν; οὐ γὰρ δὴ τό γε σῶμα· δοκεῖ γὰρ τοὐναντίον μᾶλλον ἡ ψυχὴ τὸ σῶμα συνέχειν· ἐξελθούσης γοῦν διαπνεῖται καὶ σήπεται. εἰ οὖν ἕτερόν τι μίαν αὐτὴν ποιεῖ, ἐκεῖνο μάλιστ' ἂν εἴη ψυχή. δεήσει δὲ πάλιν κἀκεῖνο ζητεῖν πότερον ἓν ἢ πολυμερές. εἰ μὲν γὰρ ἕν, διὰ τί οὐκ εὐθέως καὶ ἡ ψυχὴ ἕν; εἰ δὲ μεριστόν, πάλιν ὁ λόγος ζητήσει τί τὸ συνέχον ἐκεῖνο, καὶ οὕτω δὴ πρόεισιν ἐπὶ τὸ ἄπειρον. ἀπορήσειε δ' ἄν τις καὶ περὶ τῶν μορίων αὐτῆς, τίν' ἔχει δύναμιν ἕκαστον ἐν τῷ σώματι. εἰ γὰρ ἡ ὅλη

berger l. l. p. 1614 ut superflua omitti vult ‖ ἐπειδὴ UWy et corr. E, Bek. coni. fuisse ἐπεὶ δὲ (Trend.) ‖ 27. τῆς om. TWy ‖ τὸ ante δοξ. om. STUW Soph. ‖ 28. δὲ καὶ τὸ SUWX, καὶ etiam Soph. ‖ βουλεύεσθαι TUVWXy et corr. E Soph., βούλεσθαι leg. Them. ‖ αἱ om. TX, leg. Soph. ‖ 29. ἡ om. E (Trend.) ‖ 30. αὔξησις STUVWX et corr. E, αὔξη etiam Soph. ‖ 411b, 2. αἰσθ. καὶ κινούμεθα καὶ EVW Simpl. Soph. (qui καὶ αἰσθανόμεθα omittit) Torst., αἰσθ. καὶ κινοῦμεν X, καὶ κινούμεθα om. reliqui codd., etiam Bek. Trend. ‖ 4. ἢ ἐνὶ ἢ E, sed ἐνὶ ἢ expunct. (Bhl.) ‖ ἢ καὶ πᾶσιν TUWXy, ἢ καὶ ἐν πᾶσιν SV Soph. ‖ 5. δὲ STUV ‖ 5 et 6. ἄλλο EW Soph. (v. l. ἄλλῳ) Torst., probat etiam Noetel, Zeitschr. f. Gymn. 1864, p. 141, reliqui ἄλλῳ, etiam Them. Simpl. vet. transl. ‖ 7. γε ante τὸ TV, om. SUWXy ‖ 10. ἡ ψυχὴ TVWy, ἡ om. etiam Them. Philop. ‖ δὲ καὶ πάλιν STUVW Bek. Trend., καὶ om. y et E (Bek. teste Torstrikio et Trend.) ‖ 12. καὶ τὴν ψυχὴν ἓν SUWX, καὶ τὴν ψυχὴν ἓν εἶναι T, ἓν καὶ τὴν ψυχὴν εἶναι V.

A. Timaeus.

ψυχ. τελ. δυναμεις ἔχοντι σωμ.

1.

Definition: soul, matter[2]: form of body[1]

ψυχὴ πᾶν τὸ σῶμα συνέχει, προσήκει καὶ τῶν μορίων ἕκαστον συνέχειν τι τοῦ σώματος. τοῦτο δ' ἔοικεν ἀδυνάτῳ· ποῖον γὰρ μόριον ἢ πῶς ὁ νοῦς συνέξει, χαλεπὸν καὶ πλάσαι. φαίνεται δὲ καὶ τὰ φυτὰ διαιρούμενα ζῆν καὶ τῶν ζῴων ἔνια τῶν ἐντόμων, ὡς τὴν αὐτὴν ἔχοντα ψυχὴν τῷ εἴδει, εἰ καὶ μὴ ἀριθμῷ· ἑκάτερον γὰρ τῶν μορίων αἴσθησιν ἔχει καὶ κινεῖται κατὰ τόπον ἐπί τινα χρόνον. εἰ δὲ μὴ διατελοῦσιν, οὐθὲν ἄτοπον· ὄργανα γὰρ οὐκ ἔχουσιν ὥστε σώζειν τὴν φύσιν. ἀλλ' οὐδὲν ἧττον ἐν ἑκατέρῳ τῶν μορίων ἅπαντ' ἐνυπάρχει τὰ μόρια τῆς ψυχῆς, καὶ ὁμοειδεῖς εἰσὶν ἀλλήλαις καὶ τῇ ὅλῃ, ἀλλήλων μὲν ὡς οὐ χωριστὰ ὄντα, τῆς δ' ὅλης ψυχῆς ὡς διαιρετῆς οὔσης. ἔοικε δὲ καὶ ἡ ἐν τοῖς φυτοῖς ἀρχὴ ψυχή τις εἶναι· μόνης γὰρ ταύτης κοινωνεῖ καὶ ζῷα καὶ φυτά· καὶ αὕτη μὲν χωρίζεται τῆς αἰσθητικῆς ἀρχῆς, αἴσθησιν δ' οὐθὲν ἄνευ ταύτης ἔχει.

B.

Τὰ μὲν δὴ ὑπὸ τῶν πρότερον παραδεδομένα περὶ ψυ- 412a
χῆς εἰρήσθω· πάλιν δ' ὥσπερ ἐξ ὑπαρχῆς ἐπανίωμεν, πει-

18. συνέχει EV et fort. Simpl. (cf. p. 95, 31), συνέξει etiam Them. Philop. Soph. ‖ 21. μὴ καὶ E ‖ 21. γοῦν SVX Soph. Bek. Trend., οὖν UW, γὰρ in paraphr. Them. Philop. ‖ 25. ὁμοειδῆ εἰσιν ἀλλήλοις W et nunc E (Trend.) Soph. Bek. Trend., ὁμοειδεῖς εἰσὶν ἀλλήλαις reliqui codd. et pr. E (Bek.), etiam Philop. Simpl. Torst. ‖ 26. ἀλλήλων] ἀλλήλοις W Soph., ἀλλήλαις V, ἀλλήλων etiam Simpl. Philop. ‖ 28. ψυχὴ ante ἀρχὴ T Torst, om. SU, ψυχὴ post ἀρχὴ videntur legisse etiam Them. Philop. ‖ 29. καὶ τὰ ζῷα E, τὰ om. etiam Simpl. Soph., καὶ τὰ ζῷα καὶ τὰ φυτὰ in interpr. Them. ‖ 412a, 3. τὰ μὲν ... 4. ἐπανίωμεν] Ἐπεὶ δὲ τὰ παραδεδομένα περὶ ψυχῆς παρὰ τῶν ἄλλων, ἐφ' ὅσον ἕκαστος ἀπεφήνατο τῶν πρότερον (πρῶτον WX), εἴρηται σχεδόν, νῦν ὥσπερ ἐξ ἀρχῆς πάλιν ἐπανίωμεν SUWXm Soph. et E fol. 186 (vide appendicem). Them. Simpl. Philop. et vetusta translatio latina sine dubio vulgatam legerunt ‖ 3. προτέρων Vy ‖ 4. εἴρηται margo E, εἰρήσθω etiam Simpl.

ῥώμενοι διορίσαι τί ἐστι ψυχὴ καὶ τίς ἂν εἴη κοινότατος λόγος αὐτῆς. λέγομεν δὴ γένος ἕν τι τῶν ὄντων τὴν οὐσίαν, ταύτης δὲ τὸ μὲν ὡς ὕλην, ὃ καθ' αὑτὸ μὲν οὐκ ἔστι τόδε τι, ἕτερον δὲ μορφὴν καὶ εἶδος, καθ' ἣν ἤδη λέγεται τόδε τι, καὶ τρίτον τὸ ἐκ τούτων. ἔστι δ' ἡ μὲν ὕλη δύναμις, τὸ δ' εἶδος ἐντελέχεια, καὶ τοῦτο διχῶς, τὸ μὲν ὡς ἐπιστήμη, τὸ δ' ὡς τὸ θεωρεῖν. οὐσίαι δὲ μάλιστ' εἶναι δοκοῦσι τὰ σώματα, καὶ τούτων τὰ φυσικά· ταῦτα γὰρ τῶν ἄλλων ἀρχαί. τῶν δὲ φυσικῶν τὰ μὲν ἔχει ζωήν, τὰ δ' οὐκ ἔχει· ζωὴν δὲ λέγομεν τὴν δι' αὑτοῦ τροφήν τε καὶ αὔξησιν καὶ φθίσιν. ὥστε πᾶν σῶμα φυσικὸν μετέχον ζωῆς οὐσία ἂν εἴη, οὐσία δ' οὕτως ὡς συνθέτη. ἐπεὶ δ' ἐστὶ καὶ σῶμα τοιόνδε, ζωὴν γὰρ ἔχον, οὐκ ἂν εἴη τὸ σῶμα ψυχή· οὐ γάρ ἐστι τῶν καθ' ὑποκειμένου τὸ σῶμα, μᾶλλον δ' ὡς ὑποκείμενον καὶ ὕλη. ἀναγκαῖον ἄρα τὴν ψυχὴν οὐσίαν εἶναι ὡς εἶδος σώματος φυσικοῦ δυνάμει ζωὴν ἔχοντος. ἡ δ' οὐσία ἐντελέχεια. τοιούτου ἄρα σώματος ἐντελέχεια. αὕτη δὲ λέγεται διχῶς, ἡ μὲν ὡς ἐπιστήμη, ἡ δ' ὡς τὸ θεωρεῖν. φανερὸν οὖν ὅτι ὡς ἐπιστήμη· ἐν γὰρ τῷ ὑπάρχειν τὴν ψυχὴν καὶ ὕπνος καὶ ἐγρήγορσίς ἐστιν, ἀνάλογον δ' ἡ μὲν ἐγρήγορσις τῷ θεωρεῖν, ὁ δ' ὕπνος τῷ

5. *ἐστι ψυχὴ* E et fol. 186 et 187 (Bhl.), *ἡ* om. etiam Them. Soph. ‖ *ἂν εἴη*] *ἐστι* SUWX, *ἂν εἴη* etiam Them. Soph. ‖ *κοινὸς* UWX, *κοινότατος* etiam Them. Simpl. Soph. ‖ 6. *λέγομεν* ... 12. *φυσικά* vid. append., vulgatam legerunt etiam Alex. p. 141 et Them. ‖ 6. *δὲ* UV, *δὴ* Alex. l. l. Them. ‖ *ἕν τι γένος* SWX, *γένος ἕν τι* etiam Alex. l. l. Them. Soph. ‖ 9. *δυνάμει* y Philop. et, ut videtur, Them. Simpl., *δύναμις* etiam Soph. ‖ 11. *ὡς τὸ* om. E et margo E, leg. Them. ‖ 14. *ἑαυτοῦ* Them., *αὑτοῦ* etiam Simpl. Soph. (in cod. Vindob.), *δι' αὑτοῦ* e codd. Hayduck ‖ 16. *δή ἐστι* E_1 y et, ut videtur, Them., qui interpretatur *τοίνυν*, reliqui *δ' ἐστὶ*, etiam Soph. ‖ *καὶ* ante *σῶμα* om. UVWX Soph. Bek. Trend. ‖ *τοιόνδε*] *καὶ τοιονδὶ τοῦτο* SUVWX, *καὶ τοιονδί* y Trend., *ἐπεὶ οὐχ ἁπλῶς σῶμα, ἀλλὰ σῶμα τοιονδὶ* in interpr. Them., modo *καὶ σῶμά ἐστι καὶ τοιονδί*, modo *σῶμά ἐστι τοιονδὶ* Philop., *καὶ τοιόνδε σῶμα* Soph. ‖ 17. *τὸ* om. SU ‖ *ἡ ψυχή* SUVWX Them. Philop. Alex. ap. Philop., *ἡ* om. etiam Soph.

wider than ὁρισμός cf. 1043b 6.

se τὰ πράγματα

realization
ie ἕξις - ἐνέργεια

as art makes a artefacts. S.

the body itself being already determinate & not pure matter.

οὐ τὸ ἐν ὑποκειμένῳ ἀλλ' ὁ δεκτικὸν πρὸς τὸ εἶναι ὑποκειμένου τινος

in the same individual i.e. same subject.
i.e. ὡς ἐνέργεια.
as necessary to growth or nutrition a 14.
γονη'

no apt artifacts = internal principle of motion & rest.

4.

Body : soul :: axe : cutting, eye : sight. τὸ τί ἦν εἶναι and δύναμις

sc. κη χωρισθεισης ταυτης. La fonction définit l'organe tandis qu'elle reste pour l'instrument incapable de se mettre en oeuvre lui même, une dénomination extrinsèque.

ἔχειν καὶ μὴ ἐνεργεῖν· προτέρα δὲ τῇ γενέσει ἐπὶ τοῦ αὐτοῦ ἡ ἐπιστήμη. διὸ ἡ ψυχή ἐστιν ἐντελέχεια ἡ πρώτη σώματος φυσικοῦ δυνάμει ζωὴν ἔχοντος. τοιοῦτο δέ, ὃ ἂν ᾖ ὀργανικόν. ὄργανα δὲ καὶ τὰ τῶν φυτῶν μέρη, ἀλλὰ παντελῶς 412 b ἁπλᾶ, οἷον τὸ φύλλον περικαρπίου σκέπασμα, τὸ δὲ περικάρπιον καρποῦ· αἱ δὲ ῥίζαι τῷ στόματι ἀνάλογον· ἄμφω γὰρ ἕλκει τὴν τροφήν. εἰ δή τι κοινὸν ἐπὶ πάσης ψυχῆς δεῖ λέγειν, εἴη ἂν ἐντελέχεια ἡ πρώτη σώματος φυσικοῦ ὀργανικοῦ. διὸ καὶ οὐ δεῖ ζητεῖν εἰ ἓν ἡ ψυχὴ καὶ τὸ σῶμα, ὥσπερ οὐδὲ τὸν κηρὸν καὶ τὸ σχῆμα, οὐδ' ὅλως τὴν ἑκάστου ὕλην καὶ τὸ οὗ ἡ ὕλη· τὸ γὰρ ἓν καὶ τὸ εἶναι ἐπεὶ πλεοναχῶς λέγεται, τὸ κυρίως ἡ ἐντελέχειά ἐστιν.

καθόλου μὲν οὖν εἴρηται τί ἐστιν ἡ ψυχή· οὐσία γὰρ ἡ κατὰ τὸν λόγον. τοῦτο δὲ τὸ τί ἦν εἶναι τῷ τοιῳδὶ σώματι, καθάπερ εἴ τι τῶν ὀργάνων φυσικὸν ἦν σῶμα, οἷον πέλεκυς· ἦν μὲν γὰρ ἂν τὸ πελέκει εἶναι ἡ οὐσία αὐτοῦ, καὶ ἡ ψυχὴ τοῦτο· χωρισθείσης δὲ ταύτης οὐκ ἂν ἔτι πέλεκυς ἦν, ἀλλ' ἢ ὁμωνύμως. νῦν δ' ἐστὶ πέλεκυς· οὐ γὰρ τοιούτου σώματος τὸ τί ἦν εἶναι καὶ ὁ λόγος ἡ ψυχή, ἀλλὰ φυσικοῦ τοιουδὶ ἔχοντος ἀρχὴν κινήσεως καὶ στάσεως ἐν ἑαυτῷ. θεωρεῖν δὲ καὶ ἐπὶ τῶν μερῶν δεῖ τὸ λεχθέν. εἰ γὰρ ἦν ὁ ὀφθαλμὸς ζῷον, ψυχὴ ἂν ἦν αὐτοῦ ἡ ὄψις· αὕτη γὰρ οὐσία ὀφθαλμοῦ ἡ κατὰ τὸν λόγον. ὁ δ' ὀφθαλμὸς ὕλη ὄψεως, ἧς ἀπολει-

26. δὴ E. (Bus.) et U, reliqui omnes δὲ ‖ 27. διὸ ἡ ψ. ETVy, ἡ om. reliqui, etiam Soph. ‖ 28. τοιοῦτον STUWX | 412b, 4. δὲ ESTVy, δὴ etiam Them. Soph. Philop. ad 402b, 5. et in prooemio ad lib. II. Bek. Trend. Torst. ‖ 5. ἡ πρώτη ἐντ. WX, vulgatam tuetur etiam Them. ‖ 8. οὗ ὕλη SUWX Soph. Bek. Trend. Torst. ‖ 9. λέγεται om. SUWX Them., leg. etiam Soph. ‖ 12. μὲν E (Trend. Bus.) et y Torst. Belger, om. reliqui, etiam Philop. ‖ 13. τὸ] τῷ ETW et rc. X ‖ 14. δὲ] γὰρ SX Bek. Trend. Torst., „autem" vet. transl. ‖ 15. νῦν δ' οὐκ ἔστιν coni. Torst., neque Them. neque Philop. neque Soph. οὐ legerunt ‖ 16. τοιουδὶ etiam Soph., τοῦ Alex. 144 et Philop. ‖ 17. αὐτῷ SUVW Alex. l. l., αὐτῷ X, ἑαυτῷ etiam Philop. ‖ 20. Torst. coni. ὁ δ'

πούσης οὐκέτ' ὀφθαλμός, πλὴν ὁμωνύμως, καθάπερ ὁ λίθινος καὶ ὁ γεγραμμένος. δεῖ δὴ λαβεῖν τὸ ἐπὶ μέρους ἐφ' ὅλου τοῦ ζῶντος σώματος· ἀνάλογον γὰρ ἔχει ὡς τὸ μέρος πρὸς τὸ μέρος, οὕτως ἡ ὅλη αἴσθησις πρὸς τὸ ὅλον σῶμα τὸ αἰσθητικόν, ᾗ τοιοῦτον. ἔστι δὲ οὐ τὸ ἀποβεβληκὸς τὴν ψυχὴν τὸ δυνάμει ὂν ὥστε ζῆν, ἀλλὰ τὸ ἔχον· τὸ δὲ σπέρμα καὶ ὁ καρπὸς τὸ δυνάμει τοιονδὶ σῶμα. ὡς μὲν οὖν ἡ τμῆσις καὶ ἡ ὅρασις, οὕτω καὶ ἡ ἐγρήγορσις ἐντελέ-
413a χεια, ὡς δ' ἡ ὄψις καὶ ἡ δύναμις τοῦ ὀργάνου, ἡ ψυχή· τὸ δὲ σῶμα τὸ δυνάμει ὄν· ἀλλ' ὥσπερ ὀφθαλμὸς ἡ κόρη καὶ ἡ ὄψις, κἀκεῖ ἡ ψυχὴ καὶ τὸ σῶμα ζῷον. ὅτι μὲν οὖν οὐκ ἔστιν ἡ ψυχὴ χωριστὴ τοῦ σώματος, ἢ μέρη τινὰ αὐτῆς, εἰ μεριστὴ πέφυκεν, οὐκ ἄδηλον· ἐνίων γὰρ ἡ ἐντελέχεια τῶν μερῶν ἐστὶν αὐτῶν. οὐ μὴν ἀλλ' ἔνιά γε οὐθὲν κωλύει, διὰ τὸ μηθενὸς εἶναι σώματος ἐντελεχείας. ἔτι δὲ ἄδηλον εἰ οὕτως ἐντελέχεια τοῦ σώματος ἡ ψυχὴ ὥσπερ πλωτὴρ πλοίου. τύπῳ μὲν οὖν ταύτῃ διωρίσθω καὶ ὑπογεγράφθω περὶ ψυχῆς.

Ἐπεὶ δ' ἐκ τῶν ἀσαφῶν μὲν φανερωτέρων δὲ γίγνε- 2
ται τὸ σαφὲς καὶ κατὰ τὸν λόγον γνωριμώτερον, πειρατέον πάλιν οὕτω γ' ἐπελθεῖν περὶ αὐτῆς· οὐ γὰρ μόνον τὸ ὅτι

ὀφθαλμὸς τὸ σύνολον, ἡ δὲ κόρη ὕλη ὄψεως, iisdem fere verbis interpretatur Them., vulgatam tuentur etiam Philop. Simpl. et vet. transl. ‖ *ἀπολιπούσης* TVW Them. Simpl. Trend., *ἀπολειπούσης* etiam Soph. ‖ 21. *οὐκ ἔστιν* STUVW Bek. Trend., *οὐκέτι* EX, *οὐκέτ'* Them. Torst., *οὐκέτι ἐστὶν* interpr. Simpl., *οὐκέτι ἔσται* Soph. ‖ *ὁμώνυμος* E ‖ 22. *δὲ* VX, *δὴ* etiam Them., *τοίνυν* interpr. Simpl. ‖ 24. *οὕτως* om. UVWX Soph., leg. Philop. Simpl. ‖ 25. *τοιοῦτο* UW, *τοιοῦτον* reliqui codd. et E (Bus.) Philop. Soph. Torst. ‖ 27. *τοιόνδε* Alex. 144 ‖ 28. *τμῆσις* codd., *αἴσθησις* coni. Christ ‖ 413a, 2. *ὁ ὀφθ.* TUWX Simpl. Soph. Bek. Trend., *ὁ* om. Philop. ad 412b, 17 et Them. ‖ 3. *τὸ ζῶον* SUWX Them. Simpl. Soph. Bek. Trend. ‖ 8. *τε* E, *δὲ* etiam Philop. ad 411a, 26 et Soph. ‖ 13. *οὕτω* E (Bhl.) *γ' ἐπελθεῖν* E Soph., reliqui et scripti et impressi om. *γε*; *ἐπανελθεῖν* S Philop. Simpl.

ie ὄψιν πρὸς ὀφθαλμόν.

Two sorts of δύναμις (1) ὡς ὁ μανθάνων (2) ὡς ὁ ἔχων καὶ μὴ θεωρῶν.

πλάστης (1) the art of navigation (2) the pilot. Alex.
A good definition. Growth in plants. Sensibility (touch) in ani

ὅσα ἐστίν τῇ φύσει καὶ τῷ λόγῳ; ἐναργ. πρὸς ἡμᾶς κ. τὴν αἴσθησιν. Simpl.
τάξει }

ie a necessary prius aliter

not an aggregate, e.g. a heap of corn

αὐτὰ τὰ ψυχὴν ἔχοντα ζῷα Alex.

∴ ὥστε when οὐκ ἔστιν ἄλλο μεταξύ = essentially.

δεῖ τὸν ὁριστικὸν λόγον δηλοῦν, ὥσπερ οἱ πλεῖστοι τῶν ὅρων λέγουσιν, ἀλλὰ καὶ τὴν αἰτίαν ἐνυπάρχειν καὶ ἐμφαίνεσθαι. νῦν δ' ὥσπερ συμπεράσμαθ' οἱ λόγοι τῶν ὅρων εἰσίν· οἷον τί ἐστιν ὁ τετραγωνισμός; τὸ ἴσον ἑτερομήκει ὀρθογώνιον εἶναι ἰσόπλευρον. ὁ δὲ τοιοῦτος ὅρος λόγος τοῦ συμπεράσματος. ὁ δὲ λέγων ὅτι ἐστὶν ὁ τετραγωνισμὸς μέσης εὕρεσις, τοῦ πράγματος λέγει τὸ αἴτιον. λέγομεν οὖν ἀρχὴν λαβόντες τῆς σκέψεως, διωρίσθαι τὸ ἔμψυχον τοῦ ἀψύχου τῷ ζῆν. πλεοναχῶς δὲ τοῦ ζῆν λεγομένου, κἂν ἕν τι τούτων ἐνυπάρχῃ μόνον, ζῆν αὐτό φαμεν, οἷον νοῦς, αἴσθησις, κίνησις καὶ στάσις ἡ κατὰ τόπον, ἔτι κίνησις ἡ κατὰ τροφὴν καὶ φθίσις τε καὶ αὔξησις. διὸ καὶ τὰ φυόμενα πάντα δοκεῖ ζῆν· φαίνεται γὰρ ἐν αὑτοῖς ἔχοντα δύναμιν καὶ ἀρχὴν τοιαύτην, δι' ἧς αὔξησίν τε καὶ φθίσιν λαμβάνουσι κατὰ τοὺς ἐναντίους τόπους· οὐ γὰρ ἄνω μὲν αὔξεται, κάτω δ' οὔ, ἀλλ' ὁμοίως ἐπ' ἄμφω καὶ πάντῃ ὅσα καὶ τρέφεται, καὶ ζῇ διὰ τέλους, ἕως ἂν δύνηται λαμβάνειν τροφήν. χωρίζεσθαι δὲ τοῦτο μὲν τῶν ἄλλων δυνατόν, τὰ δ' ἄλλα τούτου ἀδύνατον ἐν τοῖς θνητοῖς. φανερὸν δ' ἐπὶ τῶν φυομένων· οὐδεμία γὰρ αὐτοῖς ὑπάρχει δύναμις ἄλλη ψυχῆς. τὸ μὲν οὖν ζῆν διὰ τὴν ἀρχὴν ταύτην ὑπάρχει τοῖς 413b
ζῶσι, τὸ δὲ ζῷον διὰ τὴν αἴσθησιν πρώτως· καὶ γὰρ τὰ μὴ κινούμενα μηδ' ἀλλάττοντα τόπον, ἔχοντα δ' αἴσθησιν

17. ἔστι τετραγωνισμός V W Them. Soph. Bek Trend. Torst. ‖ 18. λόγος om. ETV ‖ 19. ὁ post ἐστὶν om. WX Them. ‖ εὕρησις TU WX ‖ 20. λέγωμεν TW Alex. 145, λέγομεν etiam Them. Philop. Soph. ‖ τὴν ἀρχὴν Alex. l. l., τὴν om. Them. Philop. ‖ 21. σκέψεως τοῦ πράγματος SUWX Alex. l. l., τοῦ πράγ om. etiam Soph. ‖ 22. ζῆν] ζωὴν ἔχοντι σώματι Alex. l. l. ‖ 23. ὑπάρχῃ SWX Philop. ‖ 25. φθίσιν et αὔξησιν SUWX Soph. Trend. ‖ 29. πάντῃ ἐκτρέφεταί τε καὶ SUX, πάντῃ ὅσα ἀεὶ τρέφεταί τε καὶ ET et omisso τε W, πάντοσε καὶ τρέφεται V Bek. Trend. Torst., πάντῃ ὅσα καὶ τρέφεται, καὶ de coniectura scripsi ‖ 413b, 1. τοῖς ζ.] πᾶσι τοῖς ζῶσι SU Them. Soph., τοῖς ζῶσι πᾶσι X ‖ 5. δὲ] γὰρ X, δὲ etiam Them. Philop.

ζῷα λέγομεν καὶ οὐ ζῆν μόνον. αἰσθήσεως δὲ πρῶτον ὑπάρχει πᾶσιν ἁφή. ὥσπερ δὲ τὸ θρεπτικὸν δύναται χωρίζεσθαι τῆς ἁφῆς καὶ πάσης αἰσθήσεως, οὕτως ἡ ἁφὴ τῶν ἄλλων αἰσθήσεων. θρεπτικὸν δὲ λέγομεν τὸ τοιοῦτον μόριον τῆς ψυχῆς οὗ καὶ τὰ φυόμενα μετέχει· τὰ δὲ ζῷα πάντα φαίνεται τὴν ἁπτικὴν αἴσθησιν ἔχοντα· δι' ἣν δ' αἰτίαν ἑκάτερον τούτων συμβέβηκεν, ὕστερον ἐροῦμεν.

νῦν δ' ἐπὶ τοσοῦτον εἰρήσθω μόνον, ὅτι ἐστὶν ἡ ψυχὴ τῶν εἰρημένων τούτων ἀρχὴ καὶ τούτοις ὥρισται, θρεπτικῷ, αἰσθητικῷ, διανοητικῷ, κινήσει. πότερον δὲ τούτων ἕκαστόν ἐστι ψυχὴ ἢ μόριον ψυχῆς, καὶ εἰ μόριον, πότερον οὕτως ὥστ' εἶναι χωριστὸν λόγῳ μόνον ἢ καὶ τόπῳ, περὶ μὲν τινῶν τούτων οὐ χαλεπὸν ἰδεῖν, ἔνια δὲ ἀπορίαν ἔχει. ὥσπερ γὰρ ἐπὶ τῶν φυτῶν ἔνια διαιρούμενα φαίνεται ζῶντα καὶ χωριζόμενα ἀπ' ἀλλήλων, ὡς οὔσης τῆς ἐν τούτοις ψυχῆς ἐντελεχείᾳ μὲν μιᾶς ἐν ἑκάστῳ φυτῷ, δυνάμει δὲ πλειόνων, οὕτως ὁρῶμεν καὶ περὶ ἑτέρας διαφορὰς τῆς ψυχῆς συμβαῖνον ἐπὶ τῶν ἐντόμων ἐν τοῖς διατεμνομένοις· καὶ γὰρ αἴσθησιν ἑκάτερον τῶν μερῶν ἔχει καὶ κίνησιν τὴν κατὰ τόπον, εἰ δ' αἴσθησιν, καὶ φαντασίαν καὶ ὄρεξιν· ὅπου μὲν γὰρ αἴσθησις, καὶ λύπη τε καὶ ἡδονή, ὅπου δὲ ταῦτα, ἐξ ἀνάγκης καὶ ἐπιθυμία. περὶ δὲ τοῦ νοῦ καὶ τῆς θεωρητικῆς δυνάμεως οὐδέν πω φανερόν, ἀλλ' ἔοικε ψυχῆς γένος ἕτερον εἶναι, καὶ τοῦτο μόνον ἐνδέχεται χωρίζεσθαι, καθάπερ τὸ ἀΐδιον τοῦ φθαρτοῦ. τὰ δὲ λοιπὰ μόρια

8. *φυτὰ* SUX Bek. Trend. ‖ 12. *θρεπτικῷ* 〈*ὀρεκτικῷ*〉 coni. Susemihl l. l. ‖ 15. *τούτων* om. SUWX Them. Soph. ‖ 18. *αὐτοῖς* SUVX Them. Soph ‖ 22. *καὶ φαντασίαν* deleri vult Freudenthal, Ueber den Begriff *φαντασία* bei Arist. p. 8 ‖ 23. *καὶ* ante *λύπη* om. SUWX Soph. ‖ 25. *οὐδέπω* TUVWXy et Philop. in prooemio ad lib. 1 et ad 411a 26, sed hoc loco et ad 415a 11 *οὐδέν πω*, quod etiam Them. legit cf. p. 84, 16. 188, 15. 190, 4. ‖ 26. *ἐνδέχεται* omnes codd. Soph. et Philop. ter hoc loco et ad 411a 26, sed ad 415a 11 *ἐνδέχεσθαι* et eam quoque scripturam ferri et ab Alexandro legi tradit ad hunc locum Philop., *ἐνδέχεσθαι* etiam Them. 84, 18. (cf. 188, 17 et 190, 4).

Parts of the soul ; in what sense ?

ἀρχὴν · τὴν κινητικὴν αἰτίαν Smith. 408 a 6.

τοξ῀ω Timaeus. cf 411 a 26 sq. The parts of the soul locally distinct in the body –
ἔνιοι ὁ νοῦς R. ? the fact of division ὥσπερ γὰρ

= ἄλλας διαφόρους τρόπους ᾗ δυνάμεις

from the body , or the other functions .

on the ground that all animals have not got it .

ζῶντων R. ie τὸ ἐν · αἴσθησις

Soul is the λογος, εἶδος : relative to the matter of the body

ὑγιαστοῦ R ἐπιστ. = capable of receiving ..

dosei - ἐνεργ. to meet the objection that ὑγίεια is in the physician. la forme préexiste dans l'agent κυρίως. goes with ψυχή. | mais l'agent n'a son acte que dans le patient.

τῆς ψυχῆς φανερὸν ἐκ τούτων ὅτι οὐκ ἔστι χωριστά, καθάπερ τινές φασιν· τῷ δὲ λόγῳ ὅτι ἕτερα, φανερόν· αἰσθητικῷ γὰρ εἶναι καὶ δοξαστικῷ ἕτερον, εἴπερ καὶ τὸ αἰσθάνεσθαι τοῦ δοξάζειν. ὁμοίως δὲ καὶ τῶν ἄλλων ἕκαστον τῶν εἰρημένων. ἔτι δ' ἐνίοις μὲν τῶν ζῴων ἅπανθ' ὑπάρχει ταῦτα, τισὶ δέ τινα τούτων, ἑτέροις δὲ ἓν μόνον (τοῦτο δὲ ποιήσει διαφορὰν τῶν ζῴων)· διὰ τίνα δ' αἰτίαν, ὕστερον ἐπισκεπτέον. παραπλήσιον δὲ καὶ περὶ τὰς αἰσθήσεις συμβέβηκεν· τὰ μὲν γὰρ ἔχει πάσας, τὰ δὲ τινάς, τὰ δὲ μίαν τὴν ἀναγκαιοτάτην, ἁφήν.

ἐπεὶ δὲ ᾧ ζῶμεν καὶ αἰσθανόμεθα διχῶς λέγεται, καθάπερ ᾧ ἐπιστάμεθα λέγομεν [δὲ] τὸ μὲν ἐπιστήμην τὸ δὲ ψυχήν (ἑκατέρῳ γὰρ τούτων φαμὲν ἐπίστασθαι), ὁμοίως δὲ καὶ ᾧ ὑγιαίνομεν τὸ μὲν ὑγιείᾳ τὸ δὲ μορίῳ τινὶ τοῦ σώματος ἢ καὶ ὅλῳ· τούτων δ' ἡ μὲν ἐπιστήμη τε καὶ ὑγίεια μορφὴ καὶ εἶδός τι καὶ λόγος καὶ οἷον ἐνέργεια τοῦ δεκτικοῦ, ἡ μὲν τοῦ ἐπιστημονικοῦ, ἡ δὲ τοῦ ὑγιαστικοῦ (δοκεῖ γὰρ ἐν τῷ πάσχοντι καὶ διατιθεμένῳ ἡ τῶν ποιητικῶν ὑπάρχειν ἐνέργεια)· ἡ ψυχὴ δὲ τοῦτο ᾧ ζῶμεν καὶ αἰσθανόμεθα καὶ διανοούμεθα πρώτως· ὥστε λόγος τις ἂν εἴη καὶ εἶδος, ἀλλ' οὐχ ὕλη καὶ τὸ ὑποκείμενον. τριχῶς γὰρ

33. ποιεῖ S U X Philop. vet. transl. Bek. Trend. Torst., ἐποίησε Soph. || διαφορὰς T V X, διαφορὰν etiam Philop. Simpl. Soph. || τοῦτο .... 414a, 1 ζῴων cum Torst. in parenthesi posui || 2. τὰς om. E et rc. T, leg. etiam Soph. || 4. de hoc loco ἐπεὶ .... 14. ὑποκείμενον cf. Bon. stud. Ar. II, III .120., pro ἐπεὶ δὲ coni. ἔτι δὲ Trend., ἐπεὶ δὲ etiam Soph. || 5. post ἐπιστάμεθα virgulam Bek. Trend. Torst., delevit Bon. || λέγω coni. Torst., λέγομεν etiam Sim. l. et sine dubio Soph. || δὲ unc. incl. Bon. || 6. ἑκατέρῳ ... ἐπίστασθαι in parenth. posuit Bon. || 7. ὑγίειαν X et pr. S, reliqui et Bek. Trend. ὑγίεια, ὑγιείᾳ de coniect. Trend. a Torst. receptum probat Bon., ὑγιείᾳ iam Soph. || 8. ὅλῳ. τούτων Bek Trend., post ὅλῳ colon Torst. Bon. || 9. καὶ ante οἷον om. S U X || 10. τῶν δεκτικῶν X Philop. et in paraphr. Them. Simpl. || ὑγιαστοῦ X Simpl. Philop., quod probat Hayduck. progr. Gryph. 1873 p. 1 || 12. Torst. incipit apodosin ab ἡ ψυχή, Bon. ab ὥστε 13, idque recte. || 13. πρώτως, ὥστε Bek. Trend., post πρώτως colon Torst. Bon. || 14. οὐχὶ ἡ W, οὐχ' ὡς

λεγομένης τῆς οὐσίας, καθάπερ εἴπομεν, ὧν τὸ μὲν εἶδος, τὸ δὲ ὕλη, τὸ δὲ ἐξ ἀμφοῖν, τούτων δ' ἡ μὲν ὕλη δύναμις, τὸ δὲ εἶδος ἐντελέχεια, ἐπεὶ τὸ ἐξ ἀμφοῖν ἔμψυχον, οὐ τὸ σῶμά ἐστιν ἐντελέχεια ψυχῆς, ἀλλ' αὕτη σώματός τινος. καὶ διὰ τοῦτο καλῶς ὑπολαμβάνουσιν οἷς δοκεῖ μήτ' ἄνευ σώματος εἶναι μήτε σῶμά τι ἡ ψυχή· σῶμα μὲν γὰρ οὐκ ἔστι, σώματος δέ τι, καὶ διὰ τοῦτο ἐν σώματι ὑπάρχει, καὶ ἐν σώματι τοιούτῳ, καὶ οὐχ ὥσπερ οἱ πρότερον εἰς σῶμα ἐνήρμοζον αὐτήν, οὐθὲν προσδιορίζοντες ἐν τίνι καὶ ποίῳ, καίπερ οὐδὲ φαινομένου τοῦ τυχόντος δέχεσθαι τὸ τυχόν. οὕτω δὲ γίνεται καὶ κατὰ λόγον· ἑκάστου γὰρ ἡ ἐντελέχεια ἐν τῷ δυνάμει ὑπάρχοντι καὶ τῇ οἰκείᾳ ὕλῃ πέφυκεν ἐγγίνεσθαι. ὅτι μὲν οὖν ἐντελέχειά τίς ἐστι καὶ λόγος τοῦ δύναμιν ἔχοντος εἶναι τοιούτου, φανερὸν ἐκ τούτων.

Τῶν δὲ δυνάμεων τῆς ψυχῆς αἱ λεχθεῖσαι τοῖς μὲν 3
ὑπάρχουσι πᾶσαι, καθάπερ εἴπομεν, τοῖς δὲ τινὲς αὐτῶν, ἐνίοις δὲ μία μόνη. δυνάμεις δ' εἴπομεν θρεπτικόν, ὀρεκτικόν, αἰσθητικόν, κινητικὸν κατὰ τόπον, διανοητικόν. ὑπάρχει δὲ τοῖς μὲν φυτοῖς τὸ θρεπτικὸν μόνον, ἑτέροις δὲ 414b τοῦτό τε καὶ τὸ αἰσθητικόν. εἰ δὲ τὸ αἰσθητικόν, καὶ τὸ ὀρεκτικόν· ὄρεξις μὲν γὰρ ἐπιθυμία καὶ θυμὸς καὶ βούλησις, τὰ δὲ ζῷα πάντ' ἔχουσι μίαν γε τῶν αἰσθήσεων, τὴν ἁφήν· ᾧ δ' αἴσθησις ὑπάρχει, τούτῳ ἡδονή τε καὶ λύπη καὶ τὸ ἡδύ τε καὶ λυπηρόν, οἷς δὲ ταῦτα, καὶ ἡ ἐπιθυμία· τοῦ

SUVXy Simpl. ‖ pro γὰρ coni. δὲ Hayduck. l. l. ‖ 14.... 19. cf. Bon. stud. Ar. II, III. 58 ‖ 17. post ἐντελ. colon Bek. Trend. Torst., virgulam Bon. ‖ ἐπεὶ δὲ ST Bek. Torst., ἐπεὶ τὰ E, δὲ auctore Trend. om. Belger, quod probat Bon., leg. δὲ Them. Philop. ‖ 20. μὲν om. SUX, leg. Them. Soph. ‖ 23. προσδιορίσαντες SUX Soph., προσδιορίζοντες etiam Philop. ‖ 28. τοιουδὲ εἶναι SUX, εἶναι τοιούτου Them. Soph. ‖ 30. ὥσπερ εἴπομεν W, om. ETy, καθάπερ εἴπομεν etiam Them. Soph. ‖ 31. ὀρεκτικὸν post αἰσθητικὸν UVX Them. Belg., vulgatam tuetur Soph. ‖ 414b, 1. αὐτὸ SWX Soph., τοῦτο etiam Philop. ‖ 2. ὀρέξεις E (Trend.) ‖ 5. τε om. ET, leg. Simpl. Soph. ‖ καὶ ἡ om. SU, ἡ

τινος · τοῦ τούτου δὲ τοῦ ὀργανικοῦ So.
Pl. harmony & chords.

φυσικῷ καὶ ὀργανικῷ

we arrive at this conclusion: this result is what we might expect. th-
sc. τοιούτῳ.

3.

Plants have power of nutrition. Other things sensibility - involves desire

άθη τοῦ αἰσθητικοῦ:
ιητικὰ τῶν παθῶν:

it is, ie αἰσθόμενος

sense required: ce n'est que par accident que les animaux se nourrissent des autres sensibles.

[illegible]

ie not actually nutritive.

Eg the stars

the definition of soul must take account of the separate parts.

cf. I.1. 402b 5-8. R.

ie a strict definition is impossible;

γὰρ ἡδέος ὄρεξις αὕτη. ἔτι δὲ τῆς τροφῆς αἴσθησιν ἔχουσιν· ἡ γὰρ ἁφὴ τῆς τροφῆς αἴσθησις· ξηροῖς γὰρ καὶ ὑγροῖς καὶ θερμοῖς καὶ ψυχροῖς τρέφεται τὰ ζῶντα πάντα, τούτων δ' αἴσθησις ἁφή· τῶν δ' ἄλλων αἰσθητῶν κατὰ συμβεβηκός. οὐθὲν γὰρ εἰς τροφὴν συμβάλλεται ψόφος οὐδὲ χρῶμα οὐδὲ ὀσμή. ὁ δὲ χυμὸς ἕν τι τῶν ἁπτῶν ἐστίν. πεῖνα δὲ καὶ δίψα ἐπιθυμία, καὶ ἡ μὲν πεῖνα ξηροῦ καὶ θερμοῦ, ἡ δὲ δίψα ψυχροῦ καὶ ὑγροῦ· ὁ δὲ χυμὸς οἷον ἥδυσμά τι τούτων ἐστίν. διασαφητέον δὲ περὶ αὐτῶν ὕστερον, νῦν δ' ἐπὶ τοσοῦτον εἰρήσθω, ὅτι τῶν ζῴων τοῖς ἔχουσιν ἁφὴν καὶ ὄρεξις ὑπάρχει. περὶ δὲ φαντασίας ἄδηλον, ὕστερον δ' ἐπισκεπτέον. ἐνίοις δὲ πρὸς τούτοις ὑπάρχει καὶ τὸ κατὰ τόπον κινητικόν, ἑτέροις δὲ καὶ τὸ διανοητικόν τε καὶ νοῦς, οἷον ἀνθρώποις καὶ εἴ τι τοιοῦτον ἕτερόν ἐστιν ἢ τιμιώτερον.

δῆλον οὖν ὅτι τὸν αὐτὸν τρόπον εἷς ἂν εἴη λόγος ψυχῆς τε καὶ σχήματος· οὔτε γὰρ ἐκεῖ σχῆμα παρὰ τὸ τρίγωνόν ἐστι καὶ τὰ ἐφεξῆς, οὔτ' ἐνταῦθα ψυχὴ παρὰ τὰς εἰρημένας. γίνοιτο δ' ἂν καὶ ἐπὶ τῶν σχημάτων λόγος κοινός, ὃς ἐφαρμόσει μὲν πᾶσιν, ἴδιος δ' οὐδενὸς ἔσται σχήματος. ὁμοίως δὲ καὶ ἐπὶ ταῖς εἰρημέναις ψυχαῖς. διὸ γελοῖον ζητεῖν τὸν κοινὸν λόγον καὶ

om. V Philop. Soph. || 6. ὀρεξίς ἐστιν αὕτη STUX, ἐστὶν ὄρεξις αὕτη Soph., ἐστιν om. etiam Philop. || δὲ om. EWy || 8. ζῶα TUVX Bek. Trend. Torst., ζῶντα etiam Them. Philop. et vet. transl. || 9. τοῖς δ' ἄλλοις αἰσθητοῖς Torst. et Belg., secuti Sophoniam, qui interpretatur τοῖς δὲ ἄλλοις τῶν αἰσθητῶν, vulgatam praeter omnes codd. tuentur Simpl. Philop. et ap. Philop. Alex. et, ut videtur, Them. || 10. οὐθὲν ... 11. ἁπτῶν ἐστίν ante ξηροῖς ... συμβεβηκὸς collocanda censet Christ || οὐδὲ χρῶμα om. E, tuentur haec verba Them. Philop. Soph. 12. θερμοῦ καὶ ξηροῦ SX, ξηρ. καὶ θερ. etiam Them. Simpl. Soph. || 13. ὑγροῦ καὶ ψυχροῦ X Soph., καὶ ψυχ. καὶ ὑγρ. S, ψυχροῦ καὶ ὑγροῦ etiam Them. Simpl. || τι om. SUVX, leg. Philop. || 15. διωρίσθω SUVX Them. Soph. || 19. ἢ καὶ τιμ. UX Them. Bek. Trend. Torst., καὶ omisso ἢ Philop., καὶ om. etiam Soph. || 22. ἡ ψυχὴ EVy Simpl., ἡ om. Soph. || γένοιτο SUVX Soph. Bek. Trend. Torst. || 25. κοινὸν ⟨μόνον⟩ coni. Susemihl, l. l.

ἐπὶ τούτων καὶ ἐφ' ἑτέρων, ὃς οὐδενὸς ἔσται τῶν ὄντων ἴδιος λόγος, οὐδὲ κατὰ τὸ οἰκεῖον καὶ τὸ ἄτομον εἶδος, ἀφέντας τὸν τοιοῦτον. παραπλησίως δ' ἔχει τῷ περὶ τῶν σχημάτων καὶ τὰ κατὰ ψυχήν· ἀεὶ γὰρ ἐν τῷ ἐφεξῆς ὑπάρχει δυνάμει τὸ πρότερον ἐπί τε τῶν σχημάτων καὶ ἐπὶ τῶν ἐμψύχων, οἷον ἐν τετραγώνῳ μὲν τρίγωνον, ἐν αἰσθητικῷ δὲ τὸ θρεπτικόν. ὥστε καθ' ἕκαστον ζητητέον, τίς ἑκάστου ψυχή, οἷον τίς φυτοῦ καὶ τίς ἀνθρώπου ἢ θηρίου. διὰ τίνα δ' αἰτίαν τῷ ἐφεξῆς οὕτως ἔχουσι, σκεπτέον. ἄνευ μὲν γὰρ τοῦ θρεπτικοῦ τὸ αἰσθητικὸν οὐκ ἔστιν· τοῦ δ' αἰσθητικοῦ χωρίζεται τὸ θρεπτικὸν ἐν τοῖς φυτοῖς. πάλιν δ' ἄνευ μὲν τοῦ ἁπτικοῦ τῶν ἄλλων αἰσθήσεων οὐδεμία ὑπάρχει, ἁφὴ δ' ἄνευ τῶν ἄλλων ὑπάρχει· πολλὰ γὰρ τῶν ζῴων οὔτ' ὄψιν οὔτ' ἀκοὴν ἔχουσιν οὔτ' ὀσμῆς αἴσθησιν. καὶ τῶν αἰσθητικῶν δὲ τὰ μὲν ἔχει τὸ κατὰ τόπον κινητικόν, τὰ δ' οὐκ ἔχει. τελευταῖον δὲ καὶ ἐλάχιστα λογισμὸν καὶ διάνοιαν· οἷς μὲν γὰρ ὑπάρχει λογισμὸς τῶν φθαρτῶν, τούτοις καὶ τὰ λοιπὰ πάντα, οἷς δ' ἐκείνων ἕκαστον, οὐ πᾶσι λογισμός, ἀλλὰ τοῖς μὲν οὐδὲ φαντασία, τὰ δὲ ταύτῃ μόνῃ ζῶσιν. περὶ δὲ τοῦ θεωρητικοῦ νοῦ ἕτερος λόγος. ὅτι μὲν οὖν ὁ περὶ τούτων ἑκάστου λόγος οὗτος οἰκειότατος καὶ περὶ ψυχῆς, δῆλον. 4

Ἀναγκαῖον δὲ τὸν μέλλοντα περὶ τούτων σκέψιν ποιεῖσθαι λαβεῖν ἕκαστον αὐτῶν τί ἐστιν, εἶθ' οὕτως περὶ τῶν ἐχομένων

26. ἐστι SUX Soph., ἔσται Them. || 27. καὶ τὸ ἄτομον ETy, τὸ om. Simpl. et, ut videtur, Soph. || 29. κατὰ] περὶ τὴν SUVX || 32. ὥστε καὶ καθ' suscepit Torst. e prima editione E, reliqui omnes om. καί, etiam Soph. || 415a, 3. οἷον ἐν τοῖς φυτοῖς suscepit Torst. e prima editione E, om. reliqui. || 6. ὀσμῆς ὅλως αἴσθησιν STU WX Soph. Bek. Trend., ὅλως om. E (Trend.) y Torst. Belger 8. ἐλάχιστον SUVWX, ἐλάχιστα etiam Philop. Soph. || διάνοιαν, οἷον ὁ (ὁ om. E et Soph.) ἄνθρωπος ἤ τι (ἢ ει τι Soph.) τοιοῦτον ἄλλο ὑπάρχει. οἷς Wy et a prima manu margo E (Trend.) et Soph. || 11. ταύτῃ μόνον SUX, ταύτῃ μόνῃ Them. Philop. Soph. || 15. τί ἐστιν om. SUX, leg. Them. Simpl. Philop.

E.N. τὸ ἴσκελεν τρίγωνον.

νῦν προσαγορεύει τὴν ὡρισμένην καὶ μνήμης μετέχουσαν καὶ συνεθίζεσθαι δυναμένην. §.

2 4.

To start from the bottom. Reproduction.

πρὸς ἡμᾶς .. προστυγχάνομεν γάρ Π: οὔπω προτ. Π: Both R:

opposed to the relation 402b15.

Eg. ἐκ γῆς σημαινομένης · ἐν κόσμῳ κ.τ.λ.

the person for _whom_ the end is

καὶ περὶ τῶν ἄλλων ἐπιζητεῖν. εἰ δὲ χρὴ λέγειν τί ἕκαστον αὐτῶν, οἷον τί τὸ νοητικὸν ἢ τὸ αἰσθητικὸν ἢ τὸ θρεπτικόν, πρότερον ἔτι λεκτέον τί τὸ νοεῖν καὶ τί τὸ αἰσθάνεσθαι· πρότεραι γάρ εἰσι τῶν δυνάμεων αἱ ἐνέργειαι καὶ αἱ πράξεις κατὰ τὸν λόγον. εἰ δ' οὕτως, τούτων δ' ἔτι πρότερα τὰ ἀντικείμενα δεῖ τεθεωρηκέναι, περὶ ἐκείνων πρῶτον ἂν δέοι διορίσαι διὰ τὴν αὐτὴν αἰτίαν, οἷον περὶ τροφῆς καὶ αἰσθητοῦ καὶ νοητοῦ. ὥστε πρῶτον περὶ τροφῆς καὶ γεννήσεως λεκτέον· ἡ γὰρ θρεπτικὴ ψυχὴ καὶ τοῖς ἄλλοις ὑπάρχει, καὶ πρώτη καὶ κοινοτάτη δύναμίς ἐστι ψυχῆς, καθ' ἣν ὑπάρχει τὸ ζῆν ἅπασιν. ἧς ἐστὶν ἔργα γεννῆσαι καὶ τροφῇ χρῆσθαι· φυσικώτατον γὰρ τῶν ἔργων τοῖς ζῶσιν, ὅσα τέλεια καὶ μὴ πηρώματα, ἢ τὴν γένεσιν αὐτομάτην ἔχει, τὸ ποιῆσαι ἕτερον οἷον αὐτό, ζῷον μὲν ζῷον, φυτὸν δὲ φυτόν, ἵνα τοῦ ἀεὶ καὶ τοῦ θείου μετέχωσιν ᾗ δύνανται· πάντα γὰρ ἐκείνου ὀρέγεται, καὶ ἐκείνου ἕνεκα πράττει ὅσα πράττει κατὰ φύσιν. τὸ δ' οὗ ἕνεκα διττόν, τὸ μὲν οὗ, τὸ δὲ ᾧ. ἐπεὶ οὖν κοινωνεῖν ἀδυνατεῖ τοῦ ἀεὶ καὶ τοῦ θείου τῇ συνεχείᾳ, διὰ τὸ μηδὲν ἐνδέχεσθαι τῶν φθαρτῶν ταὐτὸ καὶ ἓν ἀριθμῷ διαμένειν, ᾗ δύναται μετέχειν ἕκαστον, κοινωνεῖ

16. ἢ καὶ SUX Bek. Trend., ἢ om. Simpl. Soph. Torst. ‖ 18. πρότερον STUVWX Bek. Trend., πρότεραι E (Trend. Bus.) y Them. Soph. Torst. Belger. ‖ 20. τὸν om. E Soph. ‖ δ' ante ἔτι omnes codd., insertum E (Trend.) ‖ 21. δεῖ τεθ. om. W, leg. Philop. Soph., διὰ τὴν αὐτὴν αἰτίαν post τεθεωρηκέναι transponenda esse censet Christ ‖ 23. καὶ γεννήσεως deleri vult Essen, progr. Stargard 1866, p. 23. ‖ 24. καὶ ante τοῖς om. V, ante πρ. om. UVXy ‖ 25. ἧς] οἷς VW, ἧς etiam Them. Philop. Soph. ‖ 26. γεννῆσαί τε καὶ W, etiam Philop. Soph. ‖ χρήσασθαι STU VX Soph. Trend., χρῆσθαι Philop. ad hunc locum et ad 416a, 18. ‖ φυσικώτερον E (Trend.) et pr. y, φυσικώτατον etiam Simpl. Philop. Soph. ‖ 27. ζώοις SX, ζῶσι Them. Philop. Soph. ‖ 28. αὐτόματον SUW Soph., αὐτομάτην Them. Simpl. Philop. 29. μετέχουσιν E (Trend.) et U Soph., μετέχωσιν etiam Them. Philop. ‖ 415b, 1. καὶ ἐκείνου TUVW et E (Bus.) Them., κἀκείνου reliqui, etiam Soph. ‖ 2. τὸ δ' οὗ .... 3. ᾧ unc. incl. Trend., leg. haec verba hoc loco Them. Philop. Simpl. Soph. ‖ 4. τὸ αὐτὸ SUX Soph., ταὐτὸ Them. ‖ 5. ταύτῃ κοινωνεῖ SUX Them.

ταύτῃ, τὸ μὲν μᾶλλον τὸ δ' ἧττον· καὶ διαμένει οὐκ αὐτὸ ἀλλ' οἷον αὐτό, ἀριθμῷ μὲν οὐχ ἕν, εἴδει δ' ἕν.

ἔστι δὲ ἡ ψυχὴ τοῦ ζῶντος σώματος αἰτία καὶ ἀρχή. ταῦτα δὲ πολλαχῶς λέγεται. ὁμοίως δ' ἡ ψυχὴ κατὰ τοὺς διωρισμένους τρόπους τρεῖς αἰτία· καὶ γὰρ ὅθεν ἡ κίνησις [αὐτῇ], καὶ οὗ ἕνεκα, καὶ ὡς ἡ οὐσία τῶν ἐμψύχων σωμάτων ἡ ψυχὴ αἰτία. ὅτι μὲν οὖν ὡς οὐσία, δῆλον· τὸ γὰρ αἴτιον τοῦ εἶναι πᾶσιν ἡ οὐσία, τὸ δὲ ζῆν τοῖς ζῶσι τὸ εἶναί ἐστιν, αἰτία δὲ καὶ ἀρχὴ τούτων ἡ ψυχή. ἔτι τοῦ δυνάμει ὄντος λόγος ἡ ἐντελέχεια. φανερὸν δ' ὡς καὶ οὗ ἕνεκεν ἡ ψυχὴ αἰτία· ὥσπερ γὰρ ὁ νοῦς ἕνεκά του ποιεῖ, τὸν αὐτὸν τρόπον καὶ ἡ φύσις, καὶ τοῦτ' ἔστιν αὐτῆς τέλος. τοιοῦτον δ' ἐν τοῖς ζῴοις ἡ ψυχὴ καὶ κατὰ φύσιν· πάντα γὰρ τὰ φυσικὰ σώματα τῆς ψυχῆς ὄργανα, καὶ καθάπερ τὰ τῶν ζῴων, οὕτω καὶ τὰ τῶν φυτῶν, ὡς ἕνεκα τῆς ψυχῆς ὄντα. διττῶς δὲ τὸ οὗ ἕνεκα, τό τε οὗ καὶ τὸ ᾧ. ἀλλὰ μὴν καὶ ὅθεν πρῶτον ἡ κατὰ τόπον κίνησις, ψυχή. οὐ πᾶσι δ' ὑπάρχει τοῖς ζῶσιν ἡ δύναμις αὕτη. ἔστι δὲ καὶ ἀλλοίωσις καὶ αὔξησις κατὰ ψυχήν· ἡ μὲν γὰρ αἴσθησις ἀλλοίωσίς τις εἶναι δοκεῖ, αἰσθάνεται δ' οὐθὲν ὃ μὴ μετέχει ψυχῆς. ὁμοίως δὲ καὶ περὶ αὐ-

7. post δ' ἕν addit διόπερ τὸ σπέρμα τῶν ζώων καὶ τῶν φυτῶν ὄργανόν ἐστι τῆς ψυχῆς T et singulis verbis mutatis vel omissis VXUm, apud veteres commentatores praeter Sophoniam nullum huius additamenti vestigium ‖ 9. ὅμως SUWX, ὁμοίως etiam Them. Philop. ‖ διηρημένους SU et pr. X, διωρισμένους Them. Philop. ‖ 10. αὐτῇ unc. inclusi, αὐτῇ ES, αὐτή reliqui omnes ‖ 11. ἡ ante οὐσία om. UX ‖ 13. αἴτιον E, αἰτία etiam Philop. Soph. ‖ 14. τοῦ ἐν δυν. SUX, ἐν om. Simpl. ‖ 15. ἕνεκα STUVWX Soph. ‖ 16. νοεῖ ESTV, ποιεῖ etiam Philop. Soph. ‖ 17. αὐτῇ UVWX Soph. Bek. Trend., αὐτῆς etiam Philop. Torst. ‖ 18. καὶ ante κατὰ φύσιν excepto U omnes codd., om. Trend., unc. incl. Torst., καὶ leg. etiam Simpl. Soph. ‖ scripsisse Arist. ἔμψυχα σώματα, suspicatur Torst. ‖ 20. διττῶς . . . . . 21. ᾧ leg. haec verba hoc loco etiam Simpl. Philop. Soph. ‖ 25. ψυχὴν ἔχει SUX Them. Soph., ἔχει ψυχὴν W Bek. Trend., μετέχει ψυχῆς ETV Torst.

Soul the cause of Body: material final motive.
God & Soul.

τούτου R
= εἶδος

ie τὰ φυσικὰ καὶ ἔμψυχα.

ictifue.

restreint : organisme naturel.

ξήσεώς τε καὶ φθίσεως ἔχει· οὐδὲν γὰρ φθίνει οὐδ' αὔξεται φυσικῶς μὴ τρεφόμενον, τρέφεται δ' οὐθὲν ὃ μὴ κοινωνεῖ ζωῆς. Ἐμπεδοκλῆς δ' οὐ καλῶς εἴρηκε τοῦτο, προστιθεὶς τὴν αὔξησιν συμβαίνειν τοῖς φυτοῖς κάτω μὲν συρριζουμένοις διὰ τὸ τὴν γῆν οὕτω φέρεσθαι κατὰ φύσιν, ἄνω δὲ διὰ τὸ 416a
πῦρ ὡσαύτως. οὔτε γὰρ τὸ ἄνω καὶ κάτω καλῶς λαμβάνει· οὐ γὰρ τὸ αὐτὸ πᾶσι τὸ ἄνω καὶ κάτω [καὶ τῷ παντί], ἀλλ' ὡς ἡ κεφαλὴ τῶν ζῴων, οὕτως αἱ ῥίζαι τῶν φυτῶν, εἰ χρὴ τὰ ὄργανα λέγειν ἕτερα καὶ ταὐτὰ τοῖς ἔργοις. πρὸς δὲ τούτοις τί τὸ συνέχον εἰς τἀναντία φερόμενα τὸ πῦρ καὶ τὴν γῆν; διασπασθήσεται γάρ, εἰ μή τι ἔσται τὸ κωλῦον· εἰ δ' ἔσται, τοῦτ' ἐστὶν ἡ ψυχὴ καὶ τὸ αἴτιον τοῦ αὐξάνεσθαι καὶ τρέφεσθαι. δοκεῖ δέ τισιν ἡ τοῦ πυρὸς φύσις ἁπλῶς αἰτία τῆς τροφῆς καὶ τῆς αὐξήσεως εἶναι· καὶ γὰρ αὐτὸ φαίνεται μόνον τῶν σωμάτων ἢ τῶν στοιχείων τρεφόμενον καὶ αὐξόμενον. διὸ καὶ ἐν τοῖς φυτοῖς καὶ ἐν τοῖς ζῴοις ὑπολάβοι τις ἂν τοῦτο εἶναι τὸ ἐργαζόμενον. τὸ δὲ συναίτιον μέν πώς ἐστιν, οὐ μὴν ἁπλῶς γε αἴτιον, ἀλλὰ μᾶλλον ἡ ψυχή· ἡ μὲν γὰρ τοῦ πυρὸς αὔξησις εἰς ἄπειρον, ἕως ἂν ᾖ τὸ καυστόν, τῶν δὲ φύσει συνισταμένων πάντων ἐστὶ πέρας καὶ λόγος μεγέθους τε καὶ αὐξήσεως· ταῦτα δὲ τῆς ψυχῆς, ἀλλ' οὐ πυρός, καὶ λόγου μᾶλλον ἢ ὕλης.

26. αὐξάνεται TVX, αὔξεται etiam Them. Philop. ‖ 27. μετέχει ψυχῆς W, κοινωνεῖ ζωῆς Them. Simpl. Philop. Soph. ‖ 29. ῥιζουμένων SUVWX, ῥιζουμένοις T Soph., verbum simplex etiam Them. ‖ 416a, 3. τὸ αὐτὸ E (Bus.) Them. Philop. Torst., ταὐτὸ reliqui, etiam Soph. ‖ καὶ τῷ παντί unc. incl. Susemihl l. l. ‖ 5. post ἔργοις addunt edit. Ald. et Basil.: τὸ δ' αὐτὸ λέγειν ὄργανον ᾧ ἂν ᾖ τὸ αὐτὸ ἔργον, quae fluxisse e prima editione iudicat Torst., nihil huius additamenti habent veteres interpretes ‖ 7. κωλῦσον SUVW Soph. Bek. Trend. ‖ 11. ἢ τῶν στοιχείων unc. incl. Torst., leg. haec verba omissis verbis τῶν σωμάτων ἢ Them. Simpl. Philop., Soph. habet τῶν σωμ. καὶ τῶν στοιχ. ‖ 12. αὐξανόμενον SUVWX Them., αὐξόμενον etiam Philop. Soph. ‖ 15. ἡ ante ψ. insert. E_1 (Bhl.), leg. Them. ‖ 17. τε om. TUVX, καὶ μεγέθους καὶ S Them. ‖ 18. τῆς om. SUVWX

ἐπεὶ δ' ἡ αὐτὴ δύναμις τῆς ψυχῆς θρεπτικὴ καὶ γεννητική, καὶ περὶ τροφῆς ἀναγκαῖον διωρίσθαι πρῶτον· ἀφορίζεται γὰρ πρὸς τὰς ἄλλας δυνάμεις τῷ ἔργῳ τούτῳ. δοκεῖ δ' εἶναι ἡ τροφὴ τὸ ἐναντίον τῷ ἐναντίῳ, οὐ πᾶν δὲ παντί, ἀλλ' ὅσα τῶν ἐναντίων μὴ μόνον γένεσιν ἐξ ἀλλήλων ἔχουσιν ἀλλὰ καὶ αὔξησιν· γίνεται γὰρ πολλὰ ἐξ ἀλλήλων, ἀλλ' οὐ πάντα ποσά, οἷον ὑγιὲς ἐκ κάμνοντος. φαίνεται δ' οὐδ' ἐκεῖνα τὸν αὐτὸν τρόπον ἀλλήλοις εἶναι τροφή, ἀλλὰ τὸ μὲν ὕδωρ τῷ πυρὶ τροφή, τὸ δὲ πῦρ οὐ τρέφει τὸ ὕδωρ. ἐν μὲν οὖν τοῖς ἁπλοῖς σώμασι ταῦτ' εἶναι δοκεῖ μάλιστα τὸ μὲν τροφὴ τὸ δὲ τρεφόμενον. ἀπορίαν δ' ἔχει· φασὶ γὰρ οἱ μὲν τὸ ὅμοιον τῷ ὁμοίῳ τρέφεσθαι, καθάπερ καὶ αὐξάνεσθαι, τοῖς δ' ὥσπερ εἴπομεν τοὔμπαλιν δοκεῖ, τὸ ἐναντίον τῷ ἐναντίῳ, ὡς ἀπαθοῦς ὄντος τοῦ ὁμοίου ὑπὸ τοῦ ὁμοίου, τὴν δὲ τροφὴν μεταβάλλειν καὶ πέττεσθαι· ἡ δὲ μεταβολὴ πᾶσιν εἰς τὸ ἀντικείμενον ἢ τὸ μεταξύ. ἔτι πάσχει τι ἡ τροφὴ ὑπὸ τοῦ τρεφομένου, ἀλλ' οὐ τοῦτο ὑπὸ τῆς τροφῆς, ὥσπερ οὐδ' ὁ τέκτων ὑπὸ τῆς ὕλης, ἀλλ' ὑπ' ἐκείνου αὕτη· ὁ δὲ τέκτων μεταβάλλει μόνον εἰς ἐνέργειαν ἐξ ἀργίας. πότερον δ' ἐστὶν ἡ τροφὴ τὸ τελευταῖον προσγινόμενον ἢ τὸ πρῶτον, ἔχει διαφοράν. εἰ δ' ἄμφω, ἀλλ' ἡ μὲν ἄπεπτος ἡ δὲ πεπεμμένη, ἀμφοτέρως ἂν ἐνδέχοιτο τὴν τροφὴν λέγειν· ᾗ μὲν γὰρ ἄπεπτος, τὸ ἐναντίον τῷ ἐναντίῳ τρέφεται, ᾗ δὲ πεπεμμένη, τὸ ὅμοιον τῷ ὁμοίῳ. ὥστε φανερὸν ὅτι λέγουσί τινα τρόπον ἀμφότεροι καὶ ὀρθῶς καὶ

Them. Soph. et, ut videtur, Philop. || 20. καὶ περὶ ETW, καὶ om. Philop. Them. Bek. Trend. Torst. || διορίσαι UV Soph., διορίσασθαι y Them., διωρίσθαι etiam Philop. || 23. γέννησιν E, γένεσιν Soph. et, ut videtur, Them. || 24. πάντα om. SUXy et corr E || 25. ποσά om. UW, in rasura E (Trend.) || 28. ἄλλοις SUX Philop., ἁπλοῖς etiam Soph. || 32. ὑπὸ τοῦ ὁμοίου om. EW, tuentur Them. Philop. || 34. τὸ post ἢ insert. E (Zapf.), leg. Them. Philop. || 416b, 3. προσκρινόμενον in interpr. Them. Philop., προσγινόμενον etiam Simpl. Soph.

Nutrition : similars / opposites? ; the food of the soul ; digestion

nutrition & nutriment

τῇ θρέψει καὶ τῷ τρέφειν.

which is essential to growth.

being ontologically superior [illegible] [illegible] [illegible], destroy man. ἀδικώτερον [illegible] ἀδικώτερον So ταὐτ' ? from rivalry.

Democrit. Empedocl.

Digest

τὸ προσιὸν xc.

xc ἡ θρεπτικὴ δύναμις xc τὸ ἔμψυχον

τὴν δύναμιν.

ιε ἡ θρεπτική

l'homme la main le gouvernail.

l'âme nutritive. moteur immobile. le feu moteur et mobile. l'aliment mobile.

οὐκ ὀρθῶς. ἐπεὶ δ' οὐθὲν τρέφεται μὴ μετέχον ζωῆς, τὸ ἔμψυχον ἂν εἴη σῶμα τὸ τρεφόμενον, ᾗ ἔμψυχον, ὥστε καὶ ἡ τροφὴ πρὸς ἔμψυχόν ἐστι καὶ οὐ κατὰ συμβεβηκός. ἔστι δ' ἕτερον τροφῇ καὶ αὐξητικῷ εἶναι· ᾗ μὲν γὰρ ποσόν τι τὸ ἔμψυχον, αὐξητικόν, ᾗ δὲ τόδε τι καὶ οὐσία, τροφή· σώζει γὰρ τὴν οὐσίαν, καὶ μέχρι τούτου ἐστὶν ἕως ἂν τρέφηται· καὶ γενέσεως ποιητικόν, οὐ τοῦ τρεφομένου, ἀλλ' οἷον τὸ τρεφόμενον· ἤδη γάρ ἐστιν αὐτοῦ ἡ οὐσία, γεννᾷ δ' οὐθὲν αὐτὸ ἑαυτό, ἀλλὰ σώζει. ὥσθ' ἡ μὲν τοιαύτη τῆς ψυχῆς ἀρχὴ δύναμίς ἐστιν οἵα σώζειν τὸ ἔχον αὐτὴν ᾗ τοιοῦτον, ἡ δὲ τροφὴ παρασκευάζει ἐνεργεῖν. διὸ στερηθὲν τροφῆς οὐ δύναται εἶναι. ἐπεὶ δ' ἐστὶ τρία, τὸ τρεφόμενον καὶ ᾧ τρέφεται καὶ τὸ τρέφον, τὸ μὲν τρέφον ἐστὶν ἡ πρώτη ψυχή, τὸ δὲ τρεφόμενον τὸ ἔχον ταύτην σῶμα, ᾧ δὲ τρέφεται, ἡ τροφή. ἐπεὶ δὲ ἀπὸ τοῦ τέλους ἅπαντα προσαγορεύειν δίκαιον, τέλος δὲ τὸ γεννῆσαι οἷον αὐτό, εἴη ἂν ἡ πρώτη ψυχὴ γεννητικὴ οἷον αὐτό. ἔστι δὲ ᾧ τρέφεται διττόν, ὥσπερ καὶ ᾧ κυβερνᾷ, καὶ ἡ χεὶρ καὶ τὸ πηδάλιον, τὸ μὲν κινοῦν καὶ κινούμενον, τὸ δὲ κινούμενον ⟨μόνον⟩.

11. πρὸς τὸ ἐμψ. Them. Simpl. ‖ 12. τροφὴ E Soph., τροφῇ etiam Them. ‖ 14. ἂν καὶ τρέφηι TW, ἂν τρέφῃ E (Zapf.), ἂν τρέφηται Soph., ἂν τρέφῃ y, vulgo ἂν καὶ τρέφηται ‖ 15. γεννήσεως ES Soph., γενέσεως etiam Them. Philop. ‖ 16. αὐτοῦ ἡ οὐσία STVWX Soph., ἡ οὐσία αὐτοῦ Philop., αὐτὴ ἡ οὐσία EU vet. transl. Bek. Trend., Them. interpretatur τοῦτο γὰρ ἔστιν, unc. incl. haec verba Torst. ‖ 17. αὐτὸ om. E (Trend.) et TVW, leg. Philop. Soph. ‖ 18. ἔχον etiam Philop. Soph., δεχόμενον EWy ‖ 22. ταύτην TXy et E (Bus.) et, ut videtur, Them., αὐτὴν reliqui, etiam Philop. Soph. ‖ 23. ἐπεὶ δὲ .... 25 αὐτὸ collocanda esse ante 20 ἐπεὶ censet Torst., eodem loco, quo vulgata, haec verba legerunt Them. Philop. Soph., nihil mutandum est ‖ 25. γεννητικὸν ESTWX, γεννητικὴ etiam Soph. ‖ 25. τρέφει Ty et, ut videtur, Them., τρέφεται etiam Soph. ‖ 26. καὶ ante ᾧ om. SUWX ‖ καὶ ἡ χεὶρ EVy, καὶ om. reliqui et scripti et impressi, leg. Simpl. et sine dubio Them., qui interpretatur τῇ τε χειρὶ καὶ ‖ 27. κινούμενον ⟨μόνον⟩] κινούμενον E sine rasura (Trend.), reliqui codd. κινοῦν μόνον, etiam Them. Simpl.

πᾶσαν δ' ἀναγκαῖον τροφὴν δύνασθαι πέττεσθαι, ἐργάζεται δὲ τὴν πέψιν τὸ θερμόν· διὸ πᾶν ἔμψυχον ἔχει θερμότητα. τύπῳ μὲν οὖν ἡ τροφὴ τί ἐστιν εἴρηται· διασαφητέον δ' ἐστὶν ὕστερον περὶ αὐτῆς ἐν τοῖς οἰκείοις λόγοις.

Διωρισμένων δὲ τούτων λέγωμεν κοινῇ περὶ πάσης αἰσθήσεως. ἡ δ' αἴσθησις ἐν τῷ κινεῖσθαί τε καὶ πάσχειν συμβαίνει, καθάπερ εἴρηται· δοκεῖ γὰρ ἀλλοίωσίς τις εἶναι. φασὶ δέ τινες καὶ τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου πάσχειν. 5

417a τοῦτο δὲ πῶς δυνατὸν ἢ ἀδύνατον, εἰρήκαμεν ἐν τοῖς καθόλου λόγοις περὶ τοῦ ποιεῖν καὶ πάσχειν. ἔχει δ' ἀπορίαν διὰ τί καὶ τῶν αἰσθήσεων αὐτῶν οὐ γίνεται αἴσθησις, καὶ διὰ τί ἄνευ τῶν ἔξω οὐ ποιοῦσιν αἴσθησιν, ἐνόντος πυρὸς καὶ γῆς καὶ τῶν ἄλλων στοιχείων, ὧν ἐστὶν ἡ αἴσθησις καθ' αὑτὰ ἢ τὰ συμβεβηκότα τούτοις. δῆλον οὖν ὅτι τὸ αἰσθητικὸν οὐκ ἔστιν ἐνεργείᾳ, ἀλλὰ δυνάμει μόνον. διὸ καθάπερ τὸ καυστὸν οὐ καίεται αὐτὸ καθ' αὑτὸ ἄνευ τοῦ καυστικοῦ· ἔκαιε γὰρ ἂν ἑαυτό, καὶ οὐθὲν ἐδεῖτο τοῦ ἐντελεχείᾳ πυρὸς ὄντος. ἐπειδὴ δὲ τὸ αἰσθάνεσθαι λέγομεν διχῶς (τό τε γὰρ δυνάμει ἀκοῦον καὶ ὁρῶν ἀκούειν καὶ ὁρᾶν λέγομεν, κἂν τύχῃ καθεῦδον, καὶ

Alex. teste Philopono, vet. transl., Bek. Trend. Torst., *μόνον κινούμενον* interpretatur Philop., *κινούμενον μόνως* Soph., *κινούμενον μόνον* defendit etiam Dittenberger l. l. p. 1613. ‖ 32. *λέγομεν* VWX Them. Soph., *λέγωμεν* etiam Alex. 154. ‖ 33. *τε*] *τι* STWX et sine dubio Them. Simpl., *τι τὸ αἰσθητήριον* V, Alex. variat, p. 155, 1 *τι* et 162, 22, sed p. 161, 22 *τε*, *τε* etiam Philop. ‖ 417a, 1. *εἴρηται* V, *εἴρηται μὲν* S Simpl. Philop. ad hunc locum et Alex. ap. Philop., sed ad 417a, 14. habet Philop. *εἴρηται μὲν καὶ*, reliqui *εἰρήκαμεν*, etiam, ut videtur, Soph. ‖ *καὶ ἐν* STUWX ‖ 2. post *πάσχειν* Alex. ap. Philop. tradit ferri etiam lectionem: *λεκτέον δὲ καὶ νῦν*, quod additamentum fort. leg. et Them. et Soph., non leg. Simpl. Philop. ‖ 3. *οὐ* post 2. *τι* SUX ‖ 4. *αἰσθήσεις* SUX ‖ 7. *διὸ* om. VW, leg. Philop. ad 417b, 16. ‖ *καθάπερ*] *καὶ καθάπερ* U, *οὐκ αἰσθάνεται καθάπερ* TX, *καθάπερ οὐκ αἰσθάνεται* S ‖ 8. *καθ' ἑαυτὸ* E Torst., *ὑφ' ἑαυτοῦ* S Them., *ὑφ' αὑτοῦ* UV, *καθ' αὑτὸ* etiam Soph ‖ 9. *αὑτό* UX ‖ 10. *τὸ αἰσθανόμενον* Soph. ‖ *ἀκοῦον καὶ ὁρῶν* omnes codd., etiam E (Trend. et Torstrikio teste Bek.).

5. Sensation in general
Like affected by like? Sensation potential + actual.

ἀπ

I. 4. 415ᵇ24. De gen et corr. Things must belong to the same genus.

organs of sense

Degrees of potentiality & actuality : sorts of Passion

i.e. ἀδιορίστως

ᾗ πέφυκε δέχεσθαι

τὸ ἤδη ἐνεργοῦν), διχῶς ἂν λέγοιτο καὶ ἡ αἴσθησις, ἡ μὲν ὡς δυνάμει, ἡ δὲ ὡς ἐνεργείᾳ. [ὁμοίως δὲ καὶ τὸ αἰσθάνεσθαι, τό τε δυνάμει ὂν καὶ τὸ ἐνεργείᾳ.] πρῶτον μὲν οὖν ὡς τοῦ αὐτοῦ ὄντος τοῦ πάσχειν καὶ τοῦ κινεῖσθαι καὶ τοῦ ἐνεργεῖν λέγωμεν· καὶ γάρ ἐστιν ἡ κίνησις ἐνέργειά τις, ἀτελὴς μέντοι, καθάπερ ἐν ἑτέροις εἴρηται. πάντα δὲ πάσχει καὶ κινεῖται ὑπὸ τοῦ ποιητικοῦ καὶ ἐνεργείᾳ ὄντος. διὸ ἔστι μὲν ὡς ὑπὸ τοῦ ὁμοίου πάσχει, ἔστι δὲ ὡς ὑπὸ τοῦ ἀνομοίου, καθάπερ εἴπομεν· πάσχει μὲν γὰρ τὸ ἀνόμοιον, πεπονθὸς δ' ὅμοιόν ἐστιν.

διαιρετέον δὲ καὶ περὶ δυνάμεως καὶ ἐντελεχείας· νῦν γὰρ ἁπλῶς λέγομεν περὶ αὐτῶν. ἔστι μὲν γὰρ οὕτως ἐπιστῆμόν τι ὡς ἂν εἴποιμεν ἄνθρωπον ἐπιστήμονα, ὅτι ὁ ἄνθρωπος τῶν ἐπιστημόνων καὶ ἐχόντων ἐπιστήμην· ἔστι δ' ὡς ἤδη λέγομεν ἐπιστήμονα τὸν ἔχοντα τὴν γραμματικήν· ἑκάτερος δὲ τούτων οὐ τὸν αὐτὸν τρόπον δυνατός ἐστιν, ἀλλ' ὁ μὲν ὅτι τὸ γένος τοιοῦτον καὶ ἡ ὕλη, ὁ δ' ὅτι βουληθεὶς δυνατὸς θεωρεῖν, ἂν μή τι κωλύσῃ τῶν ἔξωθεν· ὁ δ' ἤδη θεωρῶν, ἐντελεχείᾳ ὢν καὶ κυρίως ἐπιστάμενος τόδε τὸ Α.

13. ὁμοίως . . . 14. ἐνεργείᾳ quae Trend. suspecta videntur unc. inclusi, αἰσθητόν pro αἰσθάνεσθαι scripsit Torst. ex Alex. 155a, 24, quod probat Brentano, die Psych. des Arist. 141., totum hunc locum leg. etiam Them. Philop. vet. transl., defendit Barco, Aristote, dell' anima vegetativa e sensitiva p. 43. ‖ 15. τοῦ ante ἐνεργεῖν om. EVWy Philop. Soph. ‖ 16. λέγομεν STUWXy Philop. Soph. ‖ 21. νῦν μὲν γὰρ TW, μὲν om. Soph., οὐ γὰρ ἁπλῶς coni. Roeper in Philol. VII, p. 238. ‖ ἐλέγομεν coni. Torst., λέγομεν etiam Philop. Soph. ‖ 23. εἴπωμεν ETUVWy, εἴποιμεν etiam Soph. ‖ 24. καὶ τῶν ἐχ. SUX ‖ 25. ἤδη hoc loco positum suspectum videtur Torst., defendit Vahlen, Arist. Aufsätze II, p. 26. ‖ 26. ἑκάτερος . . . 28. ἔξωθεν in parenth. Torst., quod vituperat Vahlen l. l. ‖ 28. κωλύῃ Simpl., κωλύσῃ etiam Philop. ‖ τρίτος δ' ὁ ἤδη e Soph. scripsit Torst., τρίτος δ' habet etiam Them., sed haud dubie per interpretamentum, vulgatam defendit Vahlen l. l. ‖ 29. post θεωρῶν virgulam Torst. ‖ 29. ἄλφα literis scriptum E (Trend.).

ἀμφότεροι μὲν οὖν οἱ πρῶτοι κατὰ δύναμιν ἐπιστήμονες, ἀλλ' ὁ μὲν διὰ μαθήσεως ἀλλοιωθεὶς καὶ πολλάκις ἐξ ἐναντίας μεταβαλὼν ἕξεως, ὁ δ' ἐκ τοῦ ἔχειν τὴν αἴσθησιν ἢ τὴν γραμματικήν, μὴ ἐνεργεῖν δ' εἰς τὸ ἐνεργεῖν ἄλλον τρόπον. οὐκ ἔστι δ' ἁπλοῦν οὐδὲ τὸ πάσχειν, ἀλλὰ τὸ μὲν φθορά τις ὑπὸ τοῦ ἐναντίου, τὸ δὲ σωτηρία μᾶλλον τοῦ δυνάμει ὄντος ὑπὸ τοῦ ἐντελεχείᾳ ὄντος καὶ ὁμοίου οὕτως ὡς δύναμις ἔχει πρὸς ἐντελέχειαν· θεωροῦν γὰρ γίγνεται τὸ ἔχον τὴν ἐπιστήμην, ὅπερ ἢ οὐκ ἔστιν ἀλλοιοῦσθαι (εἰς αὐτὸ γὰρ ἡ ἐπίδοσις καὶ εἰς ἐντελέχειαν) ἢ ἕτερον γένος ἀλλοιώσεως. διὸ οὐ καλῶς ἔχει λέγειν τὸ φρονοῦν, ὅταν φρονῇ, ἀλλοιοῦσθαι, ὥσπερ οὐδὲ τὸν οἰκοδόμον ὅταν οἰκοδομῇ. τὸ μὲν οὖν εἰς ἐντελέχειαν ἄγον ἐκ δυνάμει ὄντος κατὰ τὸ νοοῦν καὶ φρονοῦν οὐ διδασκαλίαν ἀλλ' ἑτέραν ἐπωνυμίαν ἔχειν δίκαιον· τὸ δ' ἐκ δυνάμει ὄντος μανθάνον καὶ λαμβάνον ἐπιστήμην ὑπὸ τοῦ ἐντελεχείᾳ ὄντος καὶ διδασκαλικοῦ ἤτοι οὐδὲ πάσχειν φατέον, [ὥσπερ εἴρηται,] ἢ δύο τρόπους εἶναι ἀλλοιώσεως, τήν τε ἐπὶ τὰς στερητικὰς διαθέσεις μεταβολὴν καὶ τὴν ἐπὶ τὰς ἕξεις καὶ τὴν φύσιν. τοῦ δ' αἰσθητικοῦ ἡ μὲν πρώτη μεταβολὴ γίνεται ὑπὸ τοῦ γεννῶντος, ὅταν δὲ γεν-

30. *πρῶτοι* unc. incl. Torst., tuentur Simpl. Soph. et sine dubio Them. ‖ Torst. coni. *ἀμφότεροι μὲν οὖν οἱ κατὰ δύναμιν ἐπιστήμονες ἐνεργείᾳ γίνονται ἐπιστήμονες, ἀλλ'*, tuetur vulgatam etiam Soph. ‖ 32. pro *αἴσθησιν* coni. Torst. *ἀριθμητικὴν*, quod re vera habet Them., *αἴσθησιν* leg. Philop. Simpl. Soph. ‖ 417b, 4. comma post *ὁμοίου* (Bek. Trend.) delevit Torst. ‖ 5. *γὰρ* tuentur praeter omnes codd. Them. Simpl. Philop. Alex. p. 151. ‖ 6. *τὴν* om. SX, leg. Them. Philop. Alex. 151. 152. ‖ *ἑαυτὸ* X Soph., *αὑτὸ* Trend., *αὐτὸ* leg. Simpl. Philop. Them. 102, 9. 52, 13. Alex. 151. 157, 28. ‖ 9. *τὸ μὲν* .... 11. *δίκαιον* suspecta videntur Hayduckio, progr. Meldorf 1877, p. 11 ‖ 10. Torst. coni. *ἄγειν*, leg. *ἄγον* Alex. 152 et, ut videtur, Philop. ‖ *κατὰ* unc. incl. Torst., leg. Alex. 152. ‖ 12. *ἐκ δυνάμει ὄντος* unc. incl. Torst., tuentur Philop. Soph. Them. 52, 15. ‖ 13. Hayduck l. l. legendum esse censet: *οὐδὲ τοῦτο πάσχειν* ‖ 14. *ὥσπερ εἴρηται* unc. inclusi, etiam Hayduck, l. l. p. 11. haec verba exstingui vult, om. SUX Them. Philop., leg. quidem Soph.

[illegible]

[illegible]

= ἀλλοίωσις.

latin sense, thought in gen.

κατὰ τόπον but not κατὰ ποιότητα

2nd sense

1st sense

that being strictly applicable to the negative, not the positive result –
more than positive negative.

from indeterminate potentiality to a determined state

τὴν ἕξιν

i.e. not τῷ μανθάνειν

not strictly. only as realising the necess. conditions in the sensorium.

Al. ὡς κοινὰ. Si ∴ νοῦς isn't part of or in the soul.

τῷ νοητικῷ

τῷ αἰσθητικῷ

the poietic arts. sh. need the matter

Two kinds of potentiality : sensation corresponds.

δύναται ἡ ὡς ὁ ἐν ἡλικίᾳ ὤν

Three kinds of αἰσθητά : special : common : accidental

really πάσχειν

428b18 certain conditions necessary to infallibility

νηθῇ, ἔχει ἤδη ὥσπερ ἐπιστήμην καὶ τὸ αἰσθάνεσθαι. καὶ τὸ κατ' ἐνέργειαν δὲ ὁμοίως λέγεται τῷ θεωρεῖν· διαφέρει δέ, ὅτι τοῦ μὲν τὰ ποιητικὰ τῆς ἐνεργείας ἔξωθεν, τὸ ὁρατὸν καὶ τὸ ἀκουστόν, ὁμοίως δὲ καὶ τὰ λοιπὰ τῶν αἰσθητῶν. αἴτιον δ' ὅτι τῶν καθ' ἕκαστον ἡ κατ' ἐνέργειαν αἴσθησις, ἡ δ' ἐπιστήμη τῶν καθόλου· ταῦτα δ' ἐν αὐτῇ πώς ἐστι τῇ ψυχῇ. διὸ νοῆσαι μὲν ἐπ' αὐτῷ, ὁπόταν βούληται, αἰσθάνεσθαι δ' οὐκ ἐπ' αὐτῷ· ἀναγκαῖον γὰρ ὑπάρχειν τὸ αἰσθητόν. ὁμοίως δὲ τοῦτ' ἔχει κἀν ταῖς ἐπιστήμαις ταῖς τῶν αἰσθητῶν, καὶ διὰ τὴν αὐτὴν αἰτίαν, ὅτι τὰ αἰσθητὰ τῶν καθ' ἕκαστα καὶ τῶν ἔξωθεν.

ἀλλὰ περὶ μὲν τούτων διασαφῆσαι καιρὸς γένοιτ' ἂν καὶ εἰσαῦθις. νῦν δὲ διωρίσθω τοσοῦτον, ὅτι οὐχ ἁπλοῦ ὄντος τοῦ δυνάμει λεγομένου, ἀλλὰ τοῦ μὲν ὥσπερ ἂν εἴποιμεν τὸν παῖδα δύνασθαι στρατηγεῖν, τοῦ δὲ ὡς τὸν ἐν ἡλικίᾳ ὄντα, οὕτως ἔχει τὸ αἰσθητικόν. ἐπεὶ δ' ἀνώνυμος αὐτῶν ἡ διαφορά, διώρισται δὲ περὶ 418a αὐτῶν ὅτι ἕτερα καὶ πῶς ἕτερα, χρῆσθαι ἀναγκαῖον τῷ πάσχειν καὶ ἀλλοιοῦσθαι ὡς κυρίοις ὀνόμασιν. τὸ δ' αἰσθητικὸν δυνάμει ἐστὶν οἷον τὸ αἰσθητὸν ἤδη ἐντελεχείᾳ, καθάπερ εἴρηται. πάσχει μὲν οὖν οὐχ ὅμοιον ὄν, πεπονθὸς δ' ὡμοίωται καὶ ἔστιν οἷον ἐκεῖνο.

6 Λεκτέον δὲ καθ' ἑκάστην αἴσθησιν περὶ τῶν αἰσθητῶν πρῶτον. λέγεται δὲ τὸ αἰσθητὸν τριχῶς, ὧν δύο μὲν καθ' αὐτά φαμεν αἰσθάνεσθαι, τὸ δὲ ἓν κατὰ συμβεβηκός. τῶν δὲ δύο τὸ μὲν ἴδιόν ἐστιν ἑκάστης αἰσθήσεως, τὸ δὲ κοινὸν πασῶν. λέγω δ' ἴδιον μὲν ὃ μὴ ἐνδέχεται ἑτέρᾳ αἰσθήσει αἰσθάνεσθαι, καὶ περὶ ὃ μὴ ἐνδέχεται ἀπατηθῆναι, οἷον ὄψις χρώματος καὶ ἀκοὴ ψόφου καὶ γεῦσις χυμοῦ. ἡ

18. καὶ post αἰσθ. om. EU, καὶ τὸ om. V, leg. καὶ τὸ Simpl. Philop. Alex. 159, 21. || 19. δὲ om. SV, post ὁμοίως ponit E, κατ' ἐνέργειαν δὲ leg. etiam Philop. Alex. 159, 22. || 24. ὅταν VWX Soph. || 31. εἴπωμεν SUX, εἴποιμεν etiam Soph. || 418a, 2. τὸ T et E (Trend.) || 3. δ' om. ES, τὸ δὲ Soph. || 8. δυοῖν SUX.

δ' ἁφὴ πλείους μὲν ἔχει διαφοράς· ἀλλ' ἑκάστη γε κρίνει
περὶ τούτων, καὶ οὐκ ἀπατᾶται ὅτι χρῶμα οὐδ' ὅτι ψόφος,
ἀλλὰ τί τὸ κεχρωσμένον ἢ ποῦ, ἢ τί τὸ ψοφοῦν ἢ ποῦ. τὰ
μὲν οὖν τοιαῦτα λέγεται ἴδια ἑκάστου, κοινὰ δὲ κίνησις, ἠρε-
μία, ἀριθμός, σχῆμα, μέγεθος· τὰ γὰρ τοιαῦτα οὐδεμιᾶς
ἐστὶν ἴδια, ἀλλὰ κοινὰ πάσαις. καὶ γὰρ ἁφῇ κίνησίς τίς
ἐστιν αἰσθητὴ καὶ ὄψει. κατὰ συμβεβηκὸς δὲ λέγεται αἰ-
σθητόν, οἷον εἰ τὸ λευκὸν εἴη Διάρους υἱός· κατὰ συμβε-
βηκὸς γὰρ τούτου αἰσθάνεται, ὅτι τῷ λευκῷ συμβέβηκε
τοῦτο οὗ αἰσθάνεται. διὸ καὶ οὐδὲν πάσχει ᾗ τοιοῦτον ὑπὸ τοῦ
αἰσθητοῦ. τῶν δὲ καθ' αὑτὰ αἰσθητῶν τὰ ἴδια κυρίως ἐστὶν
αἰσθητά, καὶ πρὸς ἃ ἡ οὐσία πέφυκεν ἑκάστης αἰσθήσεως.

Οὗ μὲν οὖν ἐστὶν ἡ ὄψις, τοῦτ' ἐστὶν ὁρατόν. ὁρατὸν δ' 7
ἐστὶ χρῶμα μέν, καὶ ὃ λόγῳ μὲν ἔστιν εἰπεῖν, ἀνώνυμον δὲ
τυγχάνει ὄν· δῆλον δὲ ἔσται ὃ λέγομεν προελθοῦσι μά-
λιστα. τὸ γὰρ ὁρατόν ἐστι χρῶμα. τοῦτο δ' ἐστὶ τὸ ἐπὶ τοῦ
καθ' αὑτὸ ὁρατοῦ· καθ' αὑτὸ δὲ οὐ τῷ λόγῳ, ἀλλ' ὅτι ἐν
ἑαυτῷ ἔχει τὸ αἴτιον τοῦ εἶναι ὁρατόν. πᾶν δὲ χρῶμα κινη-
418b τικόν ἐστι τοῦ κατ' ἐνέργειαν διαφανοῦς, καὶ τοῦτ' ἔστιν αὐτοῦ ἡ
φύσις. διόπερ οὐχ ὁρατὸν ἄνευ φωτός, ἀλλὰ πᾶν τὸ ἑκάστου
χρῶμα ἐν φωτὶ ὁρᾶται. διὸ περὶ φωτὸς πρῶτον λεκτέον τί

14. post διαφοράς signum orationis imperfectae ponit Torst. || 17. ἑκάστης W, ἑκάστη X || 19. πάσαις om. UX et pr. S, πάντων rc. S, πασῶν videtur legisse Philop. || γὰρ ἡ ἁφῇ E (Bhl.) || 20. post ὄψει editi ante Bekkerum: καθ' αὑτὰ μὲν οὖν ἐστὶν αἰσθητὰ ταῦτα, quae legit etiam Soph. || 21. διάρρους υἱὸς ET Soph., διάρρου υἱὸς V, υἱὸς om. W, Διάρους υἱὸς Simpl., et Διάρους υἱὸς et Διάρης Them., Διάρης Philop., qui in nonnullis ἀντιγράφοις etiam scripturam esse Διάρους υἱὸς commemorat || 23. καὶ om. SUV || ᾗ om. SUX, tuentur et καὶ et ᾗ Them. Soph. || 26. ἡ om. SU || 27. μὲν EW, τε reliqui omnes, etiam Philop. Simpl. || 28. μάλιστα om. SUX, leg. Soph. || 29, 30. τῶν καθ' αὑτὸ ὁρατῶν TW et E_1 (Bus.), τοῦ . . . ὁρατοῦ etiam Simpl. Philop. Soph. || 31. αὐτῷ X, αὑτῷ UV, ἑαυτῷ videntur legisse Them. Philop. || 418b, 2. πάντως ἕκαστον SUX Them. et, ut videtur, Simpl., πᾶν τὸ ἑκάστου etiam Soph. || 3. ὁρᾶται ETy

e.g. heat, moisture, smoothness

De Somno 455a 12. De An. III.2. 425b 15. The κοινὴ αἴσθ. not a special separate sense; but an interdependent function of the other senses.

ἡ Διάρους υἱός. ? [illegible]

7. Sight. Light. Colour.

things visible only in darkness

Τι? γὰρ ἰσ. ⟨to pass on to kis⟩
l'objet en qui la couleur joue le rôle de cause de la visibility.
logically which either (1) of essential attributes belonging to an object, or (2) of an object essentially involved in its

which is the διαφ. κατ. ἐνέργειαν

ε. διαφανές.

the body is more or less De sensu 439a21.

as in R

là où le diaphane existe en puissance, l'obscurité existe

as it were ∵ κατὰ συμβεβηκός : not permanent

igni simile. So the sidereal substance is both diaphan. & luminous.

Pl. Tim. Empd. Democr

praesens vis l'influence sur un sujet des conditions qui lui permettent de réaliser les puissances qu'il renferme

σώματος [illegible], ἀλλ' οὐ σῶμα.

as emanation fr. the stars

De Sensu 446a26 ∵ passage fr. dark to light & from δύναμις to ἐνέργεια & is instantaneous.

ἐστιν. ἔστι δή τι διαφανές. διαφανὲς δὲ λέγω ὃ ἔστι μὲν ὁρατόν, οὐ καθ' αὑτὸ δὲ ὁρατὸν ὡς ἁπλῶς εἰπεῖν, ἀλλὰ δι' ἀλλότριον χρῶμα. τοιοῦτον δέ ἐστιν ἀὴρ καὶ ὕδωρ καὶ πολλὰ τῶν στερεῶν· οὐ γὰρ ᾗ ὕδωρ οὐδ' ᾗ ἀήρ, διαφανές, ἀλλ' ὅτι ἐστὶ φύσις ὑπάρχουσα ἡ αὐτὴ ἐν τούτοις ἀμφοτέροις καὶ ἐν τῷ ἀϊδίῳ τῷ ἄνω σώματι. φῶς δέ ἐστιν ἡ τούτου ἐνέργεια, τοῦ διαφανοῦς ᾗ διαφανές. δυνάμει δὲ ἐν ᾧ τοῦτ' ἐστὶ καὶ τὸ σκότος. τὸ δὲ φῶς οἷον χρῶμά ἐστι τοῦ διαφανοῦς, ὅταν ᾖ ἐντελεχείᾳ διαφανὲς ὑπὸ πυρὸς ἢ τοιούτου οἷον τὸ ἄνω σῶμα· καὶ γὰρ τούτῳ τι ὑπάρχει ἓν καὶ ταὐτόν. τί μὲν οὖν τὸ διαφανὲς καὶ τί τὸ φῶς, εἴρηται, ὅτι οὔτε πῦρ οὔθ' ὅλως σῶμα οὐδ' ἀπορροὴ σώματος οὐδενός (εἴη γὰρ ἂν σῶμά τι καὶ οὕτως), ἀλλὰ πυρὸς ἢ τοιούτου τινὸς παρουσία ἐν τῷ διαφανεῖ· οὐδὲ γὰρ δύο σώματα ἅμα δυνατὸν ἐν τῷ αὐτῷ εἶναι· δοκεῖ τε τὸ φῶς ἐναντίον εἶναι τῷ σκότει· ἔστι δὲ τὸ σκότος στέρησις τῆς τοιαύτης ἕξεως ἐκ διαφανοῦς, ὥστε δῆλον ὅτι καὶ ἡ τούτου παρουσία τὸ φῶς ἐστίν. καὶ οὐκ ὀρθῶς Ἐμπεδοκλῆς, οὐδ' εἴ τις ἄλλος οὕτως εἴρηκεν, ὡς φερομένου τοῦ φωτὸς καὶ τεινομένου ποτὲ μεταξὺ τῆς γῆς καὶ τοῦ περιέχοντος, ἡμᾶς δὲ λανθάνοντος· τοῦτο γάρ ἐστι καὶ παρὰ τὴν τοῦ λόγου ἐνάργειαν καὶ παρὰ τὰ φαινόμενα· ἐν μι-

Soph. Torst., reliqui ὁρατόν ‖ 7. post στερεῶν add. οἷον ὕελος κρύσταλλος T et margo U, similia in paraphr. Them. Philop. Soph. ‖ 8. ἐστί τις φύσις UX Them. Simpl. Soph. Torst., om. τις reliqui ‖ ἐνυπάρχουσα SUVX Them. Bek. Trend. ‖ 9. virgulam post ἐνέργ. om. Bek. Trend., ἐνέργεια καὶ τοῦ διαφανοῦς coni. Trend. ‖ 10. post δὲ virgulam Torst., δυνάμει δὲ καὶ ἐν ᾧ τοῦτ' ἐστι, τὸ σκότος coni. Steinhart l. l. ‖ 11. ᾗ om. E ‖ 14. εἴρηται καὶ τί τὸ φῶς V, similiter in paraphr. Them. ‖ 15. post σῶμα transferenda esse, quae nunc 17. leguntur, ita: σῶμα (οὐδὲ γὰρ .... εἶναι), οὐδ' ἀπορροὴ censet Torst., eundem, quem vulgata, ordinem servant Them. Simpl. Philop. ‖ 15. οὔτε TVW, οὐδὲ etiam Them. ‖ 18. τε] δὲ TUVX Bek. Trend. ‖ σκότω ES ‖ ὁ TU, om. V ‖ 20. τὸ φῶς ἡ τούτου παρουσία SUX, vulgatam tuetur Them. ‖ 22. τεινομένου EV et vet. transl., vulgo γιγνομένου, etiam Them. ‖ 24. τὴν ἐν τῷ λόγῳ SUX Them. Bek. Trend. τὴν τοῦ λόγου etiam Soph. ‖ ἐνάργειαν TWy

κρῷ μὲν γὰρ διαστήματι λάθοι ἄν, ἀπ' ἀνατολῆς δ' ἐπὶ δυσμὰς τὸ λανθάνειν μέγα λίαν τὸ αἴτημα. /ἔστι δὲ χρώματος μὲν δεκτικὸν τὸ ἄχρουν, ψόφου δὲ τὸ ἄψοφον. ἄχρουν δ' ἐστὶ τὸ διαφανὲς καὶ τὸ ἀόρατον ἢ τὸ μόλις ὁρώμενον, οἷον δοκεῖ τὸ σκοτεινόν. τοιοῦτον δὲ τὸ διαφανὲς μέν, ἀλλ' οὐχ ὅταν ᾖ ἐντελεχείᾳ διαφανές, ἀλλ' ὅταν δυνάμει· ἡ γὰρ αὐτὴ φύσις ὁτὲ μὲν σκότος ὁτὲ δὲ φῶς ἐστίν. οὐ πάντα δὲ ὁρατὰ ἐν φωτί ἐστιν, ἀλλὰ μόνον ἑκάστου τὸ οἰκεῖον χρῶμα· ἔνια γὰρ ἐν μὲν τῷ φωτὶ οὐχ ὁρᾶται, ἐν δὲ τῷ σκότει ποιεῖ αἴσθησιν, οἷον τὰ πυρώδη φαινόμενα καὶ λάμποντα (ἀνώνυμα δ' ἐστὶ ταῦτα ἑνὶ ὀνόματι), οἷον μύκης, κέρας, κεφαλαὶ ἰχθύων καὶ λεπίδες καὶ ὀφθαλμοί· ἀλλ' οὐδενὸς ὁρᾶται τούτων τὸ οἰκεῖον χρῶμα. δι' ἣν μὲν οὖν αἰτίαν ταῦτα ὁρᾶται, ἄλλος λόγος· νῦν δ' ἐπὶ τοσοῦτον φανερόν ἐστιν, ὅτι τὸ μὲν ἐν φωτὶ ὁρώμενον χρῶμα. διὸ καὶ οὐχ ὁρᾶται ἄνευ φωτός· τοῦτο γὰρ ἦν αὐτῷ τὸ χρώματι εἶναι, τὸ κινητικῷ εἶναι τοῦ κατ' ἐνέργειαν διαφανοῦς· ἡ δ' ἐντελέχεια τοῦ διαφανοῦς φῶς ἐστίν. σημεῖον δὲ τούτου φανερόν· ἐὰν γάρ τις θῇ τὸ ἔχον χρῶμα ἐπ' αὐτὴν τὴν ὄψιν, οὐκ ὄψεται· ἀλλὰ τὸ μὲν χρῶμα κινεῖ τὸ διαφανές, οἷον τὸν ἀέρα, ὑπὸ τούτου δὲ συνεχοῦς ὄντος κινεῖται τὸ αἰσθητήριον. οὐ γὰρ καλῶς τοῦτο λέγει Δημόκριτος οἰόμενος, εἰ γένοιτο κενὸν τὸ μεταξύ, ὁρᾶσθαι ἂν ἀκριβῶς καὶ εἰ μύρμηξ ἐν τῷ οὐρανῷ εἴη· τοῦτο γὰρ ἀδύνατόν ἐστιν. πάσχοντος γάρ τι τοῦ αἰσθητικοῦ γίνεται τὸ ὁρᾶν· ὑπ' αὐτοῦ μὲν οὖν τοῦ ὁρωμένου χρώματος ἀδύνατον· λείπεται δὴ ὑπὸ

Torst., ἐνέργειαν E (Trend.) et Soph., ἀλήθειαν reliqui, etiam Them. || 419a. 3. σκότωι E, σκότῳ Them., σκότει Soph. || 5. λοπίδες E_1, λεπίδες etiam Them. Philop. Soph. || 7. ὁρατὰ E, ὁρᾶται etiam Them. Philop. Soph. || 9. καὶ om. E U W Soph. || αὐτὸ W Trend., αὐτῷ etiam Them. Soph. || τὸ] τῷ W, om. S Them. || 14. δὴ E T W y, δὲ ἤδη Them., δὲ etiam Simpl. Soph. || 17. ἐστιν ἀδύνατον S U X, ἀδύνατόν ἐστιν Soph. || 18. αἰσθητηρίου V W et, ut videtur, Philop., αἰσθητικοῦ etiam Soph., αἰσθήσεως in paraphr. Them. || 19. δὴ E T W, δὲ reliqui, etiam Them. Simpl. Soph.

[illegible]

[illegible] in the dark

conséquence de ce qui précède   ἐὰν γάρ τις .. οὐκ ὄψεται

Similarly hearing, smell: touch, taste.

[illegible]ject odorant

τοῦ μεταξύ, ὥστ' ἀναγκαῖόν τι εἶναι μεταξύ· κενοῦ δὲ γενομένου οὐχ ὅτι ἀκριβῶς, ἀλλ' ὅλως οὐθὲν ὀφθήσεται.

δι' ἣν μὲν οὖν αἰτίαν τὸ χρῶμα ἀναγκαῖον ἐν φωτὶ ὁρᾶσθαι, εἴρηται. πῦρ δὲ ἐν ἀμφοῖν ὁρᾶται, καὶ ἐν σκότει καὶ ἐν φωτί, καὶ τοῦτο ἐξ ἀνάγκης· τὸ γὰρ διαφανὲς ὑπὸ τούτου γίνεται διαφανές. ὁ δ' αὐτὸς λόγος καὶ περὶ ψόφου καὶ ὀσμῆς ἐστίν· οὐθὲν γὰρ αὐτῶν ἁπτόμενον τοῦ αἰσθητηρίου ποιεῖ τὴν αἴσθησιν, ἀλλ' ὑπὸ μὲν ὀσμῆς καὶ ψόφου τὸ μεταξὺ κινεῖται, ὑπὸ δὲ τούτου τῶν αἰσθητηρίων ἑκάτερον· ὅταν δ' ἐπ' αὐτό τις ἐπιθῇ τὸ αἰσθητήριον τὸ ψοφοῦν ἢ τὸ ὄζον, οὐδεμίαν αἴσθησιν ποιήσει. περὶ δὲ ἁφῆς καὶ γεύσεως ἔχει μὲν ὁμοίως, οὐ φαίνεται δέ· δι' ἣν δ' αἰτίαν, ὕστερον ἔσται δῆλον. τὸ δὲ μεταξὺ ψόφων μὲν ἀήρ, ὀσμῆς δ' ἀνώνυμον· κοινὸν γὰρ δή τι πάθος ἐπ' ἀέρος καὶ ὕδατός ἐστιν, ὥσπερ τὸ διαφανὲς χρώματι, οὕτω τῷ ἔχοντι ὀσμὴν ὃ ἐν ἀμφοτέροις ὑπάρχει τούτοις· φαίνεται γὰρ καὶ τὰ ἔνυδρα τῶν ζῴων ἔχειν αἴσθησιν ὀσμῆς. ἀλλ' ὁ μὲν ἄνθρωπος καὶ τῶν πεζῶν 419b ὅσα ἀναπνεῖ, ἀδυνατεῖ ὀσμᾶσθαι μὴ ἀναπνέοντα. ἡ δ' αἰτία καὶ περὶ τούτων ὕστερον λεχθήσεται.

20. ὥστ' . . . μεταξύ om. SUX, leg. Soph. ‖ 23. σκότωι E., σκότῳ Soph. ‖ 29. τις ἐπιθῇ om. pr. E ‖ τὸ ante αἰσθ. om. E ‖ 32. codd. hoc loco non variant, vulgatam leg. etiam Philop. Simpl. et, ut videtur, Soph., sed. Them. interpretatur: τὸ δὲ μεταξὺ ψόφου καὶ ὀσμῆς ἀὴρ καὶ ὕδωρ, unde Brandisius coni. Them. legisse τὸ δὲ μεταξὺ ψόφων καὶ ὀσμῆς ἀνώνυμον, Torst. coni. ab Arist. haec fere scripta fuisse: τὸ δὲ μεταξὺ ψόφου μὲν καὶ ὀσμῆς ἀήρ τε καὶ ὕδωρ· τὸ δὲ κοινὸν ἀνώνυμον· κοινὸν . . ., sed nihil mutandum est, vulgatam defendit etiam Barco l. l. 58. ‖ 33. δὴ om. SUVWXy ‖ 34. ὃ ἐν] ὃν SX, ἐν TV ‖ 419b, 1. ὀδμῆς et 2. ὀδμᾶσθαι ET ‖ ἀλλ' . . . 4. διορίσωμεν] ex Themistii et Sophoniae interpretationibus Torst. coni. Arist. haec fere scripsisse: ἀλλ' ὁ μὲν ἄνθρωπος καὶ τῶν πεζῶν ὅσα ἀναπνεῖ ἀδυνατεῖ ὀσμᾶσθαι μὴ ἀναπνέοντα, τὰ δὲ ἔνυδρα ὀσμᾶται καὶ μὴ ἀναπνέοντα. ἡ δ' αἰτία καὶ περὶ τούτων ὕστερον λεχθήσεται. νῦν δ' ἐκ τῶν εἰρημένων δῆλον τί ἐστιν ὄψις. μετὰ δὲ ταῦτα λεκτέον περὶ ἀκοῆς καὶ ὀσφρήσεως· καὶ πρῶτον μὲν περὶ ψόφου καὶ ἀκοῆς διορίσωμεν, Sim-

Νῦν δὲ πρῶτον περὶ ψόφου καὶ ἀκοῆς διορίσωμεν. ἔστι 8
δὲ διττὸς ὁ ψόφος· ὁ μὲν γὰρ ἐνεργείᾳ τις, ὁ δὲ δυνάμει· τὰ μὲν γὰρ οὔ φαμεν ἔχειν ψόφον, οἷον σπόγγον, ἔρια, τὰ δ' ἔχειν, οἷον χαλκὸν καὶ ὅσα στερεὰ καὶ λεῖα, ὅτι δύναται ψοφῆσαι. τοῦτο δ' ἐστὶν αὐτοῦ μεταξὺ καὶ τῆς ἀκοῆς ἐμποιῆσαι ψόφον ἐνεργείᾳ. γίνεται δ' ὁ κατ' ἐνέργειαν ψόφος ἀεί τινος πρός τι καὶ ἔν τινι· πληγὴ γάρ ἐστιν ἡ ποιοῦσα. διὸ καὶ ἀδύνατον ἑνὸς ὄντος γενέσθαι ψόφον· ἕτερον γὰρ τὸ τύπτον καὶ τὸ τυπτόμενον· ὥστε τὸ ψοφοῦν πρός τι ψοφεῖ· πληγὴ δ' οὐ γίνεται ἄνευ φορᾶς. ὥσπερ δ' εἴπομεν, οὐ τῶν τυχόντων πληγὴ ὁ ψόφος· οὐθένα γὰρ ποιεῖ ψόφον ἔρια ἂν πληγῇ, ἀλλὰ χαλκὸς καὶ ὅσα λεῖα καὶ κοῖλα, ὁ μὲν χαλκός, ὅτι λεῖος· τὰ δὲ κοῖλα τῇ ἀνακλάσει πολλὰς ποιεῖ πληγὰς μετὰ τὴν πρώτην, ἀδυνατοῦντος ἐξελθεῖν τοῦ κινηθέντος. ἔτι ἀκούεται ἐν ἀέρι καὶ ὕδατι, ἀλλ' ἧττον. οὐκ ἔστι δὲ ψόφου κύριος ὁ ἀὴρ οὐδὲ τὸ ὕδωρ· ἀλλὰ δεῖ στερεῶν πληγὴν γενέσθαι πρὸς ἄλληλα καὶ πρὸς τὸν ἀέρα. τοῦτο δὲ γίνεται, ὅταν ὑπομένῃ πληγεὶς ὁ ἀὴρ καὶ μὴ διαχυθῇ. διὸ ἐὰν ταχέως καὶ σφοδρῶς πληγῇ, ψοφεῖ· δεῖ γὰρ φθάσαι τὴν κίνησιν τοῦ ῥαπίζοντος τὴν θρύψιν τοῦ ἀέρος, ὥσπερ ἂν εἰ σωρὸν ἢ ὁρμαθὸν ψάμμου τύπτοι τις φερόμε-

plicium vulgatam legisse et ex interpret. huius loci et quae p. 138 de Alexandro dicit certum est || 4. ἀκοῆς] ὀσφρήσεως E W X y et Soph., reliqui ἀκοῆς, etiam Them. || 5. ἐνεργείαι (i. e. casu dativo) E (Trend.) et δυνάμει E Them. Simpl. Philop. Soph. Torst., ἐνέργεια et δύναμις reliqui || τις post ἐνεργείᾳ om. Soph., leg. Them. Simpl. || 7. χαλκὸς T, χαλκὸν etiam Them. Soph. || 11. γίνεσθαι X Soph., probat Susemihl, l. l. || τὸν ψόφον E, τὸν om. Soph. || 15. ἔριον ἢ κατάξαν ἢ πληγὲν, ἀλλὰ V X et margo U, vulgatam leg. Soph. et sine dubio Philop. || 18. ἐν] μὲν ἐν coni. Torst. || ἀλλ' ἧττον unc. incl. Torst., om. Soph., videntur legisse Them. Simpl. Philop. || 19. οὔτε T W, οὔτε δὲ E, οὐδὲ etiam Simpl. Soph. || 20. καὶ] Torst. coni. ἢ καί, quod iam Steinhart l. l. coniecerat, vulgatam tuentur Philop. Simpl. Soph. || 21. ὑπομείνῃ E et fort. Simpl., ὑπομένῃ Soph. || 24. ἂν om. S T U X, ἂν leg. Soph.

8. <u>Hearing</u>

sound & air . Echo.

πλήττοντος . πληττομένου . τῷ διηχεῖ .

moves ἔν τινι .

[illegible]

σίδηρος.
ἐν ὕδατι
cause déterminante

breaking into small pieces
cylindre de sable s'écoulant d'un reservoir

απο του αερος ανακλαται ο ψοφος του εν τῳ κοιλῳ, ουκ απο του κοιλου Probl. XI.23. v.l. i.e. the itself is τι στερεον then.

not τοῦ ψόφου

friable

ἀήρ = εἰς Th.

Sound in a void. The ear. Sharp + deep sound.

i.e. not ἐν λόγῳ ὡς ἀδιάφορον Si

ἀκοη = το της ακοης αισθητηριον.

sc. την ακοην = l'ouïe.

lying before the Term.

Cf. Democritus

νον ταχύ. ἠχὼ δὲ γίνεται, ὅταν ἀπὸ τοῦ ἀέρος ἑνὸς γενομένου διὰ τὸ ἀγγεῖον τὸ διορίσαν καὶ κωλῦσαν θρυφθῆναι πάλιν ὁ ἀὴρ ἀπωσθῇ, ὥσπερ σφαῖρα. ἔοικε δ' ἀεὶ γίνεσθαι ἠχώ, ἀλλ' οὐ σαφής, ἐπεὶ συμβαίνει γε ἐπὶ τοῦ ψόφου καθάπερ καὶ ἐπὶ τοῦ φωτός· καὶ γὰρ τὸ φῶς ἀεὶ ἀνακλᾶται (οὐδὲ γὰρ ἂν ἐγίνετο πάντῃ φῶς, ἀλλὰ σκότος ἔξω τοῦ ἡλιουμένου), ἀλλ' οὐχ οὕτως ἀνακλᾶται ὥσπερ ἀφ' ὕδατος ἢ χαλκοῦ ἢ καί τινος ἄλλου τῶν λείων, ὥστε σκιὰν ποιεῖν, ᾗ τὸ φῶς ὁρίζομεν. τὸ δὲ κενὸν ὀρθῶς λέγεται κύριον τοῦ ἀκούειν. δοκεῖ γὰρ εἶναι κενὸν ὁ ἀήρ, οὗτος δ' ἐστὶν ὁ ποιῶν ἀκούειν, ὅταν κινηθῇ συνεχὴς καὶ εἷς. ἀλλὰ διὰ τὸ ψαθυρὸς εἶναι οὐ γεγωνεῖ, ἂν μὴ λεῖον ᾖ τὸ πληγέν. τότε δὲ εἷς γίνεται ἅμα διὰ τὸ ἐπίπεδον· ἓν γὰρ τὸ τοῦ λείου ἐπίπεδον.

ψοφητικὸν μὲν οὖν τὸ κινητικὸν ἑνὸς ἀέρος συνεχείᾳ μέχρις ἀκοῆς. ἀκοὴ δὲ συμφυὴς ἀέρι· διὰ δὲ τὸ ἐν ἀέρι εἶναι, κινουμένου τοῦ ἔξω ὁ εἴσω κινεῖται. διόπερ οὐ πάντῃ τὸ ζῷον ἀκούει, οὐδὲ πάντῃ διέρχεται ὁ ἀήρ· οὐ γὰρ πάντῃ ἔχει ἀέρα τὸ κι-

25. *ἀπὸ τοῦ* om. SUVX Torst., leg. Soph. et Alex. de anima fol. 132b (sed *ὑπὸ* pro *ἀπὸ*) ‖ *γινομένου* UVWX Soph. ‖ 30. *οὐ* STUVX Them., *οὐδὲ* etiam Soph. ‖ 33. *ᾗ*] *ᾧ* scripsit Torst. e solo Philop., *ᾗ* etiam Soph. ‖ 33. *τὸ δὲ* .... 35. *εἷς* partim corrupta partim alieno loco posita esse putat Torst., vide eius comment. crit. p. 148, tuentur Them. Philop. Simpl. Soph. ‖ 420a, 1. Torst. suspicatur Arist. scripsisse *τότε δὲ εἷς γίνεται καὶ ἅμα ἀφάλλεται, διὰ τὸ ἐπίπεδον*, similiter in interpret. Them. et Philop., vulgatam leg. etiam Soph. ‖ 2. *ἅμα γὰρ διὰ* U et Philop. in paraphr. ‖ 4. *ἀκοῇ δὲ συμφυὴς ἀήρ* Wy Simpl. Philop. Soph. Torst., vulgatam leg. Them. ‖ *διὰ τὸ ἕνα ἀέρα εἶναι* coni. Steinhart l. l., quod iam Iul. Pacius coniecerat, textum tuentur Simpl. Philop. ‖ 5. *τὸ εἴσω* SUVX Bek. Trend., *ὁ* leg. etiam Them. Philop. Torst. ‖ *κινεῖ* STVW Bek. Trend., *κινεῖται* etiam Philop. Simpl. vet. transl. Torst., cui assentitur etiam Hayduck, progr. Gryph. 1873 p. 2. ‖ *παντὶ μέρει τὸ ζῷον ἀκούει ἀλλ' ὠσίν· οὐδὲ πανταχοῦ τοῦ σώματος διέρχεται· οὐ γὰρ* W, similia habent et Them. et Philop., fluxisse e priori editione putat Torst., sed nihil nisi interpretamentum est, vulgatam tuentur Soph. Simpl. ‖ 6. *ὁ ἀὴρ* unc. incl. Torst., leg. Soph.‖ *ἀέρα, ἀλλὰ τὸ κ.* coni. Torst., *ἀλλὰ* non leg. Philop. Soph.

νησόμενον μέρος καὶ ἔμψυχον. αὐτὸς μὲν δὴ ἄψοφον ὁ ἀὴρ διὰ τὸ εὔθρυπτον· ὅταν δὲ κωλυθῇ θρύπτεσθαι, ἡ τούτου κίνησις ψόφος. ὁ δ' ἐν τοῖς ὠσὶν ἐγκατῳκοδόμηται πρὸς τὸ ἀκίνητος εἶναι, ὅπως ἀκριβῶς αἰσθάνηται πάσας τὰς διαφορὰς τῆς κινήσεως. διὰ ταῦτα δὲ καὶ ἐν ὕδατι ἀκούομεν, ὅτι οὐκ εἰσέρχεται πρὸς αὐτὸν τὸν συμφυῆ ἀέρα· ἀλλ' οὐδ' εἰς τὸ οὖς διὰ τὰς ἕλικας. ὅταν δὲ τοῦτο συμβῇ, οὐκ ἀκούει· οὐδ' ἂν ἡ μῆνιγξ κάμῃ, ὥσπερ τὸ ἐπὶ τῇ κόρῃ δέρμα [ὅταν κάμῃ]. ἀλλὰ καὶ σημεῖον τοῦ ἀκούειν ἢ μὴ τὸ ἠχεῖν αἰεὶ τὸ οὖς ὥσπερ τὸ κέρας· ἀεὶ γὰρ οἰκείαν τινὰ κίνησιν ὁ ἀὴρ κινεῖται ὁ ἐν τοῖς ὠσίν· ἀλλ' ὁ ψόφος ἀλλότριος καὶ οὐκ ἴδιος. καὶ διὰ τοῦτό φασιν ἀκούειν τῷ κενῷ καὶ ἠχοῦντι, ὅτι ἀκούομεν τῷ ἔχοντι ὡρισμένον τὸν ἀέρα. πότερον δὲ ψοφεῖ τὸ τυπτόμενον ἢ τὸ τύπτον; ἢ καὶ ἄμφω, τρόπον δ' ἕτερον· ἔστι γὰρ ὁ ψόφος κίνησις τοῦ δυναμένου κινεῖσθαι τὸν τρόπον τοῦτον ὅνπερ τὰ ἀφαλλόμενα ἀπὸ τῶν λείων, ὅταν τις κρούσῃ. οὐ δὴ πᾶν, ὥσπερ εἴρηται, ψοφεῖ τυπτόμενον καὶ τύπτον, οἷον ἐὰν πατάξῃ βελόνη βελόνην· ἀλλὰ δεῖ τὸ τυπτόμενον ὁμαλὸν εἶναι, ὥστε τὸν ἀέρα ἀθροῦν ἀφάλλεσθαι καὶ σείεσθαι. αἱ δὲ διαφοραὶ τῶν ψοφούντων

7. ἔμψυχον etiam Philop. Soph., ἔμψοφον coni. Torst., cui assentiuntur Hayduck l. l. et Dittenberger l. l. p. 1615. ‖ ἔμψυχον, ὥσπερ ἡ κόρη τὸ ὑγρόν· αὐτὸ W et margo U vet. transl. et, ut videtur, Philop., non leg. Soph. ‖ αὐτὸς e Them. scripsit Torst., ceteri αὐτὸ ‖ 7. αὐτὸ... 9. ψόφος, mutato δὴ in γάρ, fort. ante 419b, 25. ἠχὼ transponenda iudicat Susemihl ‖ 10. ἀμετακίνητος coni. Hayduck l. l. ‖ 12. τὸν συμφυῆ... 13. ἕλικας unc. incl. Torst., leg. Simpl. Philop. Soph. ‖ 14. οὔτ' E T ‖ 15. ὅταν κάμῃ unc. inclusi, om. ETWy Soph. ‖ ἀλλὰ usque ad 18. ἴδιος unc. incl. Torst., tuentur Them. Simpl. Philop. Soph. ‖ 16. αἰεὶ ante τὸ om. SVX, leg. Them. Soph. ‖ 17. ὁ ante ἐν om. STUWX, leg. Soph. ‖ 19. τὸν om. SUVX, leg. Simpl. ‖ 22. ἀλλόμενα SVX, ἀφαλλόμενα Them. Philop. Simpl. Soph. ‖ 24. καὶ τύπτον om. SUVX, leg. Philop. Simpl. Soph. (qui ἢ pro καὶ habet) ‖ 25. ἀθρόον STUVWX ‖ 26. ψόφων Ty Them. Soph., ψοφούντων etiam Philop. Simpl.

= ζῷον.

= ἄθροισμα Al.

[illegible] cornea

espèce particulière. τὴ ζωικὴν ψυχὴν χαρακτηρίζομενα.

[illegible]

…ugh Plato. Aristoxenus. Pythagoras. Sound not number but a quality, yet connected w number + movements.

Voice. Physiology of it. Air striking on the air in the trachea.

pitch ? melody. mode. phrase musicale.

ἐν τῷ κατ' ἐνέργειαν ψόφῳ δηλοῦνται· ὥσπερ γὰρ ἄνευ φωτὸς οὐχ ὁρᾶται τὰ χρώματα, οὕτως οὐδ' ἄνευ ψόφου τὸ ὀξὺ καὶ τὸ βαρύ. ταῦτα δὲ λέγεται κατὰ μεταφορὰν ἀπὸ τῶν ἁπτῶν· τὸ μὲν γὰρ ὀξὺ κινεῖ τὴν αἴσθησιν ἐν ὀλίγῳ χρόνῳ ἐπὶ πολύ, τὸ δὲ βαρὺ ἐν πολλῷ ἐπ' ὀλίγον. οὐ δὴ ταχὺ τὸ ὀξύ, τὸ δὲ βαρὺ βραδύ, ἀλλὰ γίνεται τοῦ μὲν διὰ τὸ τάχος ἡ κίνησις τοιαύτη, τοῦ δὲ διὰ βραδυτῆτα. καὶ ἔοικεν ἀνάλογον ἔχειν τῷ περὶ τὴν ἁφὴν ὀξεῖ καὶ ἀμ- 420b βλεῖ· τὸ μὲν γὰρ ὀξὺ οἷον κεντεῖ, τὸ δ' ἀμβλὺ οἷον ὠθεῖ διὰ τὸ κινεῖν τὸ μὲν ἐν ὀλίγῳ τὸ δὲ ἐν πολλῷ, ὥστε συμβαίνει τὸ μὲν ταχὺ τὸ δὲ βραδὺ εἶναι.

περὶ μὲν οὖν ψόφου ταύτῃ διωρίσθω. ἡ δὲ φωνὴ ψόφος τίς ἐστιν ἐμψύχου· τῶν γὰρ ἀψύχων οὐθὲν φωνεῖ, ἀλλὰ καθ' ὁμοιότητα λέγεται φωνεῖν, οἷον αὐλὸς καὶ λύρα καὶ ὅσα ἄλλα τῶν ἀψύχων ἀπότασιν ἔχει καὶ μέλος καὶ διάλεκτον. ἔοικε γὰρ ὅτι καὶ ἡ φωνὴ ταῦτ' ἔχει. πολλὰ δὲ τῶν ζῴων οὐκ ἔχουσι φωνήν, οἷον τά τε ἄναιμα καὶ τῶν ἐναίμων ἰχθύες. καὶ τοῦτ' εὐλόγως, εἴπερ ἀέρος κίνησίς τίς ἐστιν ὁ ψόφος. ἀλλ' οἱ λεγόμενοι φωνεῖν, οἷον ἐν τῷ Ἀχελῴῳ, ψοφοῦσι τοῖς βραγχίοις ἤ τινι ἑτέρῳ τοιούτῳ. φωνὴ δ' ἐστὶ ζῴου ψόφος, καὶ οὐ τῷ τυχόντι μορίῳ. ἀλλ' ἐπεὶ πᾶν ψοφεῖ τύπτοντός τινος καί τι καὶ ἔν τινι, τοῦτο δ' ἐστὶν ἀήρ, εὐλόγως ἂν

31. ἐπ' om. SUVW, leg. Them. Philop. Simpl. ‖ 31. οὐ δὴ] ὥστε οὐχί TW Soph., ὥστε οὐδὲ V, οὕτω X, οὐ δὴ etiam Simpl., οὐ δὴ . . . 33. βραδυτῆτα unc. incl. Susemihl l. l. ‖ 420b, 3. συμβαίνειν ES, συμβαίνει Simpl. Philop. Soph. ‖ 8. γὰρ] δὲ SUV, γὰρ etiam Soph. ‖ 11. τις om. SUVX et in paraphr. Them. Philop., leg. Soph. ‖ εἴπερ . . . ψόφος fortasse corrupta esse putat Torst., leg. Philop. Soph. Them. (qui pro ψόφος habet φωνή) ‖ 11. ἀλλ' . . . 13. τοιούτῳ unc. incl. Torst., leg. Them. Philop. Soph., defendit Wilson, Phil. Rundschau 1882, N. 47. ‖ 13. post ψόφος Torst. censet excidisse: οὐ πᾶς δὲ, vulgatam tuetur Soph., qui 14. καὶ omisit, οὐ παντὸς δὲ, ἀλλ' οὐδὲ παντὶ μορίῳ in paraphr. Them. ‖ 15. καὶ ante τι om. TW Soph., leg. Philop. Simpl.

φωνοίη ταῦτα μόνα ὅσα δέχεται τὸν ἀέρα. ἤδη γὰρ τῷ ἀναπνεομένῳ καταχρῆται ἡ φύσις ἐπὶ δύο ἔργα, καθάπερ τῇ γλώττῃ ἐπί τε τὴν γεῦσιν καὶ τὴν διάλεκτον, ὧν ἡ μὲν γεῦσις ἀναγκαῖον (διὸ καὶ πλείοσιν ὑπάρχει), ἡ δ' ἑρμηνεία ἕνεκα τοῦ εὖ, οὕτω καὶ τῷ πνεύματι πρός τε τὴν θερμότητα τὴν ἐντὸς ὡς ἀναγκαῖον (τὸ δ' αἴτιον ἐν ἑτέροις εἰρήσεται) καὶ πρὸς τὴν φωνήν, ὅπως ὑπάρχῃ τὸ εὖ. ὄργανον δὲ τῇ ἀναπνοῇ ὁ φάρυγξ· οὗ δ' ἕνεκα καὶ τὸ μόριόν ἐστι τοῦτο, πλεύμων· τούτῳ γὰρ τῷ μορίῳ πλεῖστον ἔχει τὸ θερμὸν τὰ πεζὰ τῶν ἄλλων. δεῖται δὲ τῆς ἀναπνοῆς καὶ ὁ περὶ τὴν καρδίαν τόπος πρῶτος. διὸ ἀναγκαῖον εἴσω ἀναπνεομένου εἰσιέναι τὸν ἀέρα. ὥστε ἡ πληγὴ τοῦ ἀναπνεομένου ἀέρος ὑπὸ τῆς ἐν τούτοις τοῖς μορίοις ψυχῆς πρὸς τὴν καλουμένην ἀρτηρίαν φωνή ἐστιν. οὐ γὰρ πᾶς ζῴου ψόφος φωνή, καθάπερ εἴπομεν (ἔστι γὰρ καὶ τῇ γλώττῃ ψοφεῖν καὶ ὡς οἱ βήττοντες), ἀλλὰ δεῖ ἔμψυχόν τε εἶναι τὸ τύπτον καὶ μετὰ φαντασίας τινός· σημαντικὸς γὰρ δή τις ψόφος ἐστὶν ἡ φωνή· καὶ οὐ τοῦ ἀναπνεομένου ἀέρος, ὥσπερ ἡ βήξ,
421a ἀλλὰ τούτῳ τύπτει τὸν ἐν τῇ ἀρτηρίᾳ πρὸς αὐτήν. σημεῖον δὲ τὸ μὴ δύνασθαι φωνεῖν ἀναπνέοντα μηδ' ἐκπνέοντα, ἀλλὰ κατέχοντα· κινεῖ γὰρ τούτῳ ὁ κατέχων. φανερὸν δὲ καὶ διότι οἱ ἰχθύες ἄφωνοι· οὐ γὰρ ἔχουσι φάρυγγα. τοῦτο

18. τε om. SUVWX, leg. Them. Soph. || 19. καὶ om. ET, leg. Them. Soph. || 20. ἕνεκεν STUVWX || 21. εἴρηται SUWX Soph. et sine dubio Philop. || 22. ὑπάρχοι EV, ὑπάρχει TW || 23. καὶ om. ESUWy || 24. πνεύμων STUVWXy Them. Philop. Simpl. Soph. || πλεῖον SUVW Them. Soph., πλέον T || 28. ψυχικῆς δυνάμεως πρὸς W et Philop., vulgatam tuentur Simpl. Alex. apud Simpl. Soph. || 30. καὶ prius om. SUVX, posterius EW, leg. καὶ utrobique Soph. || 31. τε leg. etiam Soph., τι SUVX || 32. δὴ om. SUVWX, leg. Soph. || 33. βῆξις ETy Them. (sed v. l. βήξ), βήξ etiam Philop. Simpl. Soph. || 421a, 3. ἀλλά κατέχοντα om. E et Soph. || 3. τοῦτο EVW Bek. Trend., τούτῳ Them. Philop. Simpl. Soph. vet. transl. Torst. || δὲ] γὰρ STUVW.

τι ἀέρι.

larynx

τῶν ζώων.

trachea

cough.

σελήνη.
τὸ ἔμψυχον ὁ ἡ ζωνη.

τε τὸ ἐν τῷ συμπτήρια

Smell. Undeveloped in man. Otherwise like taste.

∵ τὸ μιον. Al. then strong impressions are necessary.

ἀνάλογον τῷ χυμῷ τὸ ὀσφραντόν Al.

δὲ τὸ μόριον οὐκ ἔχουσιν, ὅτι οὐ δέχονται τὸν ἀέρα οὐδ' ἀναπνέουσιν. δι' ἣν μὲν οὖν αἰτίαν, ἕτερός ἐστι λόγος.

9 *Περὶ δὲ ὀσμῆς καὶ ὀσφραντοῦ ἧττον εὐδιόριστόν ἐστι τῶν εἰρημένων· οὐ γὰρ δῆλον ποῖόν τί ἐστιν ἡ ὀσμή, οὕτως ὡς ὁ ψόφος ἢ τὸ χρῶμα. αἴτιον δ' ὅτι τὴν αἴσθησιν ταύτην οὐκ ἔχομεν ἀκριβῆ, ἀλλὰ χείρω πολλῶν ζῴων· φαύλως γὰρ ἄνθρωπος ὀσμᾶται, καὶ οὐθενὸς ὀσφραίνεται τῶν ὀσφραντῶν ἄνευ τοῦ λυπηροῦ ἢ τοῦ ἡδέος, ὡς οὐκ ὄντος ἀκριβοῦς τοῦ αἰσθητηρίου. εὔλογον δ' οὕτω καὶ τὰ σκληρόφθαλμα τῶν χρωμάτων αἰσθάνεσθαι, καὶ μὴ διαδήλους αὐτοῖς εἶναι τὰς διαφορὰς τῶν χρωμάτων πλὴν τῷ φοβερῷ καὶ ἀφόβῳ· οὕτω δὲ καὶ τὰς ὀσμὰς τὸ τῶν ἀνθρώπων γένος. ἔοικε μὲν γὰρ ἀνάλογον ἔχειν πρὸς τὴν γεῦσιν καὶ ὁμοίως τὰ εἴδη τῶν χυμῶν τοῖς τῆς ὀσμῆς, ἀλλ' ἀκριβεστέραν ἔχομεν τὴν γεῦσιν διὰ τὸ εἶναι αὐτὴν ἁφήν τινα, ταύτην δ' ἔχειν τὴν αἴσθησιν τὸν ἄνθρωπον ἀκριβεστάτην· ἐν μὲν γὰρ ταῖς ἄλλαις λείπεται πολλῶν τῶν ζῴων, κατὰ δὲ τὴν ἁφὴν πολλῷ τῶν ἄλλων διαφερόντως ἀκριβοῖ. διὸ καὶ φρονιμώτατόν ἐστι τῶν ζῴων. σημεῖον δὲ τὸ καὶ ἐν τῷ γένει τῶν ἀνθρώπων παρὰ τὸ αἰσθητήριον τοῦτο εἶναι εὐφυεῖς καὶ ἀφυεῖς, παρ' ἄλλο δὲ μηδέν· οἱ μὲν γὰρ σκληρόσαρκοι ἀφυεῖς τὴν διάνοιαν,*

5. *ἀναπνέουσιν. ἀλλ' οἱ λέγοντες οὕτως ἁμαρτάνουσιν. δι'* SVW et vet. transl., *ἀλλ' οἱ λέγοντες ὅτι φωνοῦσιν οἱ ἰχθύες διαμαρτάνουσιν. δι'* X, et certe Philoponus legit tale additamentum ‖ 6. *μὲν οὖν*] *δ'* VX, om. SU ‖ *ἔσται* SUVX Soph., *ἔστω* in paraphr. Philop. ‖ 8. *ἡ* om. SUX, leg. Philop. Simpl. ‖ *ὀδμή* ETW, *ὀσμή* Them. Simpl. Philop. Soph. ‖ 9. *ψ. ἢ τὸ φῶς ἢ* TWXy Philop. Simpl. et, ut videtur, Them., om. *ἢ τὸ φῶς* Soph. ‖ 10. *χείρονα* SW, *χείρων* E, *χεῖρον* X et, ut videtur, Philop. Simpl. ‖ 11. *ὀσφραίνεται* ETW vet. transl. Torst., *αἰσθάνεται* reliqui et, ut videtur, Them. ‖ 16. *ὀδμὰς* ETW ‖ *καὶ κατὰ τὰς ὀσμὰς* coni. Christ ‖ 21. *πολλῷ* ESUV Bek., *πολλῶν* sine dubio Them. Philop. Simpl., *πολλοῖς* Soph. ‖ *τῶν* om. X ‖ *πολλῷ τῶν ἄλλων* omnes codd. excepto X, qui haec verba omisit, *πολλῷ* etiam Them. Philop. Simpl. Soph. Trend. Torst., *πολλῶν* Bek. ‖ 23. *καὶ τὸ* ESTW, om. *καὶ* X.

οἱ δὲ μαλακόσαρκοι εὐφυεῖς. ἔστι δ', ὥσπερ χυμὸς ὁ μὲν
γλυκὺς ὁ δὲ πικρός, οὕτω καὶ ὀσμαί. ἀλλὰ τὰ μὲν ἔχουσι
τὴν ἀνάλογον ὀσμὴν καὶ χυμόν, λέγω δὲ οἷον γλυκεῖαν
ὀσμὴν καὶ γλυκὺν χυμόν, τὰ δὲ τοὐναντίον. ὁμοίως δὲ καὶ
δριμεῖα καὶ αὐστηρὰ καὶ ὀξεῖα καὶ λιπαρά ἐστιν ὀσμή.
ἀλλ' ὥσπερ εἴπομεν, διὰ τὸ μὴ σφόδρα διαδήλους εἶναι
τὰς ὀσμὰς ὥσπερ τοὺς χυμούς, ἀπὸ τούτων εἴληφε τὰ ὀνό-
421b ματα καθ' ὁμοιότητα τῶν πραγμάτων· ἡ μὲν γὰρ γλυκεῖα
ἀπὸ τοῦ κρόκου καὶ μέλιτος, ἡ δὲ δριμεῖα θύμου καὶ τῶν
τοιούτων· τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν ἄλλων. ἔστι δ'
ὥσπερ καὶ ἡ ἀκοὴ καὶ ἑκάστη τῶν αἰσθήσεων, ἡ μὲν τοῦ ἀκουστοῦ
καὶ ἀνηκούστου, ἡ δὲ τοῦ ὁρατοῦ καὶ ἀοράτου, καὶ ἡ ὄσφρη-
σις τοῦ ὀσφραντοῦ καὶ ἀνοσφράντου. ἀνόσφραντον δὲ τὸ μὲν
παρὰ τὸ ὅλως ἀδύνατον ἔχειν ὀσμήν, τὸ δὲ μικρὰν ἔχον
καὶ τὸ φαύλην. ὁμοίως δὲ καὶ τὸ ἄγευστον λέγεται.

ἔστι δὲ καὶ ἡ ὄσφρησις διὰ τοῦ μεταξύ, οἷον ἀέρος ἢ ὕδατος·
καὶ γὰρ τὰ ἔνυδρα δοκοῦσιν ὀσμῆς αἰσθάνεσθαι, ὁμοίως καὶ
ἔναιμα καὶ ἄναιμα, ὥσπερ καὶ τὰ ἐν τῷ ἀέρι· καὶ γὰρ
τούτων ἔνια πόρρωθεν ἀπαντᾷ πρὸς τὴν τροφὴν ὕποσμα
γινόμενα. διὸ καὶ ἄπορον φαίνεται, εἰ πάντα μὲν ὁμοίως
ὀσμᾶται, ὁ δ' ἄνθρωπος ἀναπνέων, μὴ ἀναπνέων δὲ

27. ὀδμαὶ et 28. et 29. ὀδμὴν E ‖ 29. τὰ δὲ τοὐναντίον ante 28. λέγω SUVX, eodem loco, quo vulgata, etiam Them. Philop. ‖ 30. ὀδμή sine articulo E (Bhl.) ‖ 32. ὀδμὰς E ‖ 421b, 2. ἀπὸ τοῦ κρ. solus E, vet. transl. Bek. Trend., ἀπὸ τοῦ om. reliqui, etiam Simpl. Torst. ‖ καὶ τοῦ μ. T Bek. Trend., τοῦ om. Simpl. ‖ 4. καὶ ἡ om. SUVX, καὶ om. W Them. Bek. Trend., ἡ ἀκοὴ exstingui vult Madvig l. l. ‖ 5. καὶ τοῦ ἀνηκ TX ‖ καὶ τοῦ ἀορ. TX, utroque loco om. τοῦ Them. ‖ ἡ om. SUX, leg. Them. ‖ 6. καὶ τοῦ ἀνοσφρ. STUX, om. τοῦ Them. ‖ 7. ὀδμὴν EW ‖ 8. τὸ ante φαύλην om. SWX Bek. Trend., leg. Them. ‖ 10. ὀδμῆς E ‖ ὁμοίως δὲ καὶ SUVX Philop. Bek. Trend., ὁμοίως καὶ E (Trend.) et TW ‖ 11. τὰ ἔναιμα καὶ τὰ ἄν. SUVX Philop. Soph. Bek. Trend. ‖ 13. καὶ om. E ‖ 14. et 15. ὀδμ. E ‖ 14. ἀναπνέων μέν SUVX, μὲν ὀσμᾶται W, μὲν om. etiam Them. ‖ μὴ ἀναπνέων δὲ om. SUVX, leg. Them.

[illegible] actual sensations.
saffron

422 a 30.

Man smells only by inspiration: not so all animals

[illegible].

Type of all τὰ ἀναπνέοντα.

ἀλλ' ἐκπνέων ἢ κατέχων τὸ πνεῦμα οὐκ ὀσμᾶται, οὔτε πόρρωθεν οὔτ' ἐγγύθεν, οὐδ' ἂν ἐπὶ τοῦ μυκτῆρος ἐντὸς τεθῇ· καὶ τὸ μὲν ἐπ' αὐτῷ τιθέμενον τῷ αἰσθητηρίῳ ἀναίσθητον εἶναι κοινὸν πάντων· ἀλλὰ τὸ ἄνευ τοῦ ἀναπνεῖν μὴ αἰσθάνεσθαι ἴδιον ἐπὶ τῶν ἀνθρώπων· δῆλον δὲ πειρωμένοις· ὥστε τὰ ἄναιμα, ἐπειδὴ οὐκ ἀναπνέουσιν, ἑτέραν ἄν τιν' αἴσθησιν ἔχοι παρὰ τὰς λεγομένας. ἀλλ' ἀδύνατον, εἴπερ τῆς ὀσμῆς αἰσθάνεται· ἡ γὰρ τοῦ ὀσφραντοῦ αἴσθησις καὶ δυσώδους καὶ εὐώδους ὄσφρησίς ἐστιν. ἔτι δὲ καὶ φθειρόμενα φαίνεται ὑπὸ τῶν ἰσχυρῶν ὀσμῶν ὑφ' ὧνπερ ἄνθρωπος, οἷον ἀσφάλτου καὶ θείου καὶ τῶν τοιούτων. ὀσφραίνεσθαι μὲν οὖν ἀναγκαῖον, ἀλλ' οὐκ ἀναπνέοντα. ἔοικε δὲ τοῖς ἀνθρώποις διαφέρειν τὸ αἰσθητήριον τοῦτο πρὸς τὸ τῶν ἄλλων ζῴων, ὥσπερ τὰ ὄμματα πρὸς τὰ τῶν σκληροφθάλμων· τὰ μὲν γὰρ ἔχει φράγμα καὶ ὥσπερ ἔλυτρον τὰ βλέφαρα, ἃ μὴ κινήσας μηδ' ἀνασπάσας οὐχ ὁρᾷ· τὰ δὲ σκληρόφθαλμα οὐδὲν ἔχει τοιοῦτον, ἀλλ' εὐθέως ὁρᾷ τὰ γινόμενα ἐν τῷ διαφανεῖ· οὕτως οὖν καὶ τὸ ὀσφραντικὸν αἰσθητήριον τοῖς μὲν ἀκάλυφες εἶναι, ὥσπερ τὸ ὄμμα, τοῖς δὲ τὸν ἀέρα δεχο- 422a
μένοις ἔχειν ἐπικάλυμμα, ὃ ἀναπνεόντων ἀποκαλύπτεσθαι, διευρυνομένων τῶν φλεβίων καὶ τῶν πόρων. καὶ διὰ τοῦτο τὰ ἀναπνέοντα οὐκ ὀσμᾶται ἐν τῷ ὑγρῷ· ἀναγκαῖον γὰρ ὀσφρανθῆναι ἀναπνεύσαντα, τοῦτο δὲ ποιεῖν ἐν τῷ ὑγρῷ ἀδύνατον. ἔστι δ' ἡ ὀσμὴ τοῦ ξηροῦ, ὥσπερ ὁ χυμὸς τοῦ ὑγροῦ, τὸ δὲ ὀσφραντικὸν αἰσθητήριον δυνάμει τοιοῦτον.

15. ἀλλ' ἐκπνέων om. W Them. ‖ 16. post τεθῇ 16. et post πειρωμένοις 19. cola ponenda censet Hayduck, progr. Gryph. 1873 p. 3, recte ‖ 19. pro ἀνθρώπων legi vult ὀσφραντῶν Hayduck, quod probat Susemihl, Jen. Lit. Zt. 1877, p. 708 ‖ 21. ἀλλ' ἀδύνατον a sensu suspecta videntur Trend., leg. Soph. et sine dubio Them. ‖ 23. δὴ E, δὲ etiam Them. ‖ 29. φράγμα] πῶμα W, quod ex priore editione huc illatum esse suspicatur Torst. ‖ 31. εὐθὺς SUVX et in interpret. Them. Soph., εὐθέως Simpl. ‖ 422a, 3. φλεβῶν ET Them., φλεβίων etiam Philop. ‖ 7. αἰσθ. τὸ δ. SUX Them., τὸ om. Soph.

Τὸ δὲ γευστόν ἐστιν ἁπτόν τι· καὶ τοῦτ' αἴτιον τοῦ μὴ εἶναι αἰσθητὸν διὰ τοῦ μεταξὺ ἀλλοτρίου ὄντος σώματος· οὐδὲ γὰρ ἡ ἁφή. καὶ τὸ σῶμα δὲ ἐν ᾧ ὁ χυμός, τὸ γευστόν, ἐν ὑγρῷ ὡς ὕλῃ· τοῦτο δ' ἁπτόν τι. διὸ κἂν εἰ ἐν ὕδατι ἦμεν, ᾐσθανόμεθ' ἂν ἐμβληθέντος τοῦ γλυκέος· οὐκ ἦν δ' ἂν ἡ αἴσθησις ἡμῖν διὰ τοῦ μεταξύ, ἀλλὰ τῷ μιχθῆναι τῷ ὑγρῷ, καθάπερ ἐπὶ τοῦ ποτοῦ. τὸ δὲ χρῶμα οὐχ οὕτως ὁρᾶται τῷ μίγνυσθαι, οὐδὲ ταῖς ἀπορροίαις. ὡς μὲν οὖν τὸ μεταξὺ οὐθέν ἐστιν· ὡς δὲ χρῶμα τὸ ὁρατόν, οὕτω τὸ γευστὸν ὁ χυμός. οὐθὲν δὲ ποιεῖ χυμοῦ αἴσθησιν ἄνευ ὑγρότητος, ἀλλ' ἔχει ἐνεργείᾳ ἢ δυνάμει ὑγρότητα, οἷον τὸ ἁλμυρόν· εὔτηκτόν τε γὰρ αὐτὸ καὶ συντηκτικὸν γλώττης. ὥσπερ δὲ καὶ ἡ ὄψις ἐστὶ τοῦ τε ὁρατοῦ καὶ τοῦ ἀοράτου (τὸ γὰρ σκότος ἀόρατον, κρίνει δὲ καὶ τοῦτο ἡ ὄψις), ἔτι τοῦ λίαν λαμπροῦ (καὶ γὰρ τοῦτο ἀόρατον, ἄλλον δὲ τρόπον τοῦ σκότους), ὁμοίως δὲ καὶ ἡ ἀκοὴ ψόφου τε καὶ σιγῆς, ὧν τὸ μὲν ἀκουστὸν τὸ δ' οὐκ ἀκουστόν, καὶ μεγάλου ψόφου, καθάπερ ἡ ὄψις τοῦ λαμπροῦ (ὥσπερ γὰρ ὁ μικρὸς ψόφος ἀνήκουστος, τρόπον τινὰ καὶ ὁ μέγας τε καὶ ὁ βίαιος), ἀόρατον δὲ τὸ μὲν ὅλως λέγεται, ὥσπερ καὶ ἐπ' ἄλλων τὸ

10. δὲ om. SUX, leg. δὲ Simpl. || 11. ὕλη E (Trend.), ὕλῃι E (Bek. Bus.), ὕλῃ etiam ceteri codd. et Them. 129, 20. et Simpl. et Philop. et ap. Philop. Alex., qui etiam ὕδατι pro ὕλῃ legi tradit || κἂν] καὶ SUVWX, κἂν etiam Them. || 12. εἶμεν solus E, sed ει in rasura positum, videtur subfuisse ἦμεν (Trend.), εἶμεν Bek. Torst. || 12. αἰσθανοίμεθ' solus E, Bek. Torst. αἰσθανόμεθ' T et, ut videtur, Them., ἦμεν et ᾐσθανόμεθ' leg. Philop. Soph. Trend. „essemus et sentiremus" vet. transl. || 17. αἴσθησιν χυμοῦ SUV, χυμοῦ αἴσθ. etiam Soph. || 18. ἀλλ . . . ὑγρότητα om. E, post ἁλμυρόν T, vulgatam tuentur Them. Simpl. Soph. || 19. τηκτόν SUX Soph. || γλώσσης SUV || 20. de hoc loco ὥσπερ . . . 31. γεύσεως vid. Bon. stud. Arist. II, III, 43, quem in distinguendis singulis enunciationis membris secutus sum || 20. τε om. EW, leg. Them. Philop. Soph. || τοῦ ante ἀορ. om. STUWy, leg. Them. Philop. Soph. || 26. virgulam post ἀνήκουστος Bon. et Madvig l. l. et iam Themist. hunc locum ita interpretatus est, post τινὰ Bek. Torst. Trend.

__Taste__ : __in__ moisture : like sight & hearing, of opposites: the drinkable : kinds of taste cf. colours.
10. Taste

2

fait venir l'eau à la bouche

ἀδύνατον (1) two sorts of impossibility absolute & relative (2) absolute impossibility.
and sight is of this: i.e. of the privation

Kant kernel

ἄδηλον = μικρὸν R. 421b8.

ἰώσης = γεύστα P.

when the moist γίνεται τῆς γλώττης ἐξ ὑγρᾶς Ph

The astringent.

11. Touch.

Difficulties : What is the common object : is flesh the sense or a medium

ἀδύνατον, τὸ δ' ἐὰν πεφυκὸς μὴ ἔχῃ ἢ φαύλως, ὥσπερ τὸ ἄπουν καὶ τὸ ἀπύρηνον· οὕτω δὴ καὶ ἡ γεῦσις τοῦ γευστοῦ τε καὶ ἀγεύστου, τοῦτο δὲ τὸ μικρὸν ἢ φαῦλον ἔχον χυμὸν ἢ φθαρτικὸν τῆς γεύσεως. δοκεῖ δ' εἶναι ἀρχὴ τὸ ποτὸν καὶ ἄποτον· γεῦσις γάρ τις ἀμφότερα· ἀλλὰ τὸ μὲν φαύλη καὶ φθαρτικὴ τῆς γεύσεως, τὸ δὲ κατὰ φύσιν. ἔστι δὲ κοινὸν ἁφῆς καὶ γεύσεως τὸ ποτόν. ἐπεὶ δ' ὑγρὸν τὸ γευστόν, ἀνάγκη καὶ τὸ αἰσθητήριον αὐτοῦ μήτε ὑγρὸν εἶναι ἐντελε- 422b χείᾳ μήτε ἀδύνατον ὑγραίνεσθαι. πάσχει γάρ τι ἡ γεῦσις ὑπὸ τοῦ γευστοῦ, ᾗ γευστόν. ἀναγκαῖον ἄρα ὑγρανθῆναι τὸ δυνάμενον μὲν ὑγραίνεσθαι σωζόμενον, μὴ ὑγρὸν δέ, τὸ γευστικὸν αἰσθητήριον. σημεῖον δὲ τὸ μήτε κατάξηρον οὖσαν τὴν γλῶτταν αἰσθάνεσθαι μήτε λίαν ὑγράν· αὕτη γὰρ ἁφὴ γίνεται τοῦ πρώτου ὑγροῦ, ὥσπερ ὅταν προγευματίσας τις ἰσχυροῦ χυμοῦ γεύηται ἑτέρου· καὶ οἷον τοῖς κάμνουσι πικρὰ πάντα φαίνεται διὰ τὸ τῇ γλώττῃ πλήρει τοιαύτης ὑγρότητος αἰσθάνεσθαι. τὰ δ' εἴδη τῶν χυμῶν, ὥσπερ καὶ ἐπὶ τῶν χρωμάτων, ἁπλᾶ μὲν τἀναντία, τὸ γλυκὺ καὶ τὸ πικρόν, ἐχόμενα δὲ τοῦ μὲν τὸ λιπαρόν, τοῦ δὲ τὸ ἁλμυρόν· μεταξὺ δὲ τούτων τό τε δριμὺ καὶ τὸ αὐστηρὸν καὶ στρυφνὸν καὶ ὀξύ· σχεδὸν γὰρ αὗται δοκοῦσιν εἶναι διαφοραὶ χυμῶν. ὥστε τὸ γευστικόν ἐστι τὸ δυνάμει τοιοῦτον, γευστὸν δὲ τὸ ποιητικὸν ἐντελεχείᾳ αὐτοῦ.

11 Περὶ δὲ τοῦ ἁπτοῦ καὶ περὶ ἁφῆς ὁ αὐτὸς λόγος· εἰ γὰρ ἡ

28. ἂν E ‖ 29. ἁπτὸν S, ἁπλοῦν E, ἄπουν Philop. Simpl. ‖ τὸ ante ἀπύρ. om. ETU Simpl. ‖ δὲ ETUW Simpl., δὴ etiam Them. et Soph. videntur legisse ‖ 30. καὶ τοῦ ἀγ. SV Them., om. τοῦ Simpl. ‖ ἢ] καὶ VX ‖ 422b, 1. καὶ om. STVX Them. ‖ 4. μὲν om. SUVWX, leg. Philop. et, ut videtur, Them. ‖ 6. γλῶσσαν TUVW ‖ αὕτη] coni. αὐτοῦ Torst., tuentur αὕτη Philop. Simpl. Soph. ‖ γὰρ ἡ ἁφὴ E Simpl., ἡ om. Philop. Soph. ‖ 8. χυμοῦ om. E, leg. Them. Soph. ‖ 9. τὴν γλώττην πλήρη TWy ‖ 13. τὸ ante αὐστ. om. SVW ‖ 16. post αὐτοῦ excidisse putat οἷον αὐτό Torst., ac re vera in interpret. habent οἷον αὐτό et Them. et Philop. ‖ 17. καὶ περὶ] καὶ SUVX Soph., καὶ

ἁφὴ μὴ μία ἐστὶν αἴσθησις ἀλλὰ πλείους, ἀναγκαῖον καὶ τὰ ἁπτὰ αἰσθητὰ πλείω εἶναι. ἔχει δ' ἀπορίαν πότερον πλείους εἰσὶν ἢ μία, καὶ τί τὸ αἰσθητήριον τὸ τοῦ ἁπτικοῦ, πότερον ἡ σὰρξ καὶ ἐν τοῖς ἄλλοις τὸ ἀνάλογον, ἢ οὔ, ἀλλὰ τοῦτο μέν ἐστι τὸ μεταξύ, τὸ δὲ πρῶτον αἰσθητήριον ἄλλο τί ἐστιν ἐντός. πᾶσά τε γὰρ αἴσθησις μιᾶς ἐναντιώσεως εἶναι δοκεῖ, οἷον ὄψις λευκοῦ καὶ μέλανος καὶ ἀκοὴ ὀξέος καὶ βαρέος καὶ γεῦσις πικροῦ καὶ γλυκέος· ἐν δὲ τῷ ἁπτῷ πολλαὶ ἔνεισιν ἐναντιώσεις, θερμὸν ψυχρόν, ξηρὸν ὑγρόν, σκληρὸν μαλακόν, καὶ τῶν ἄλλων ὅσα τοιαῦτα. ἔχει δέ τινα λύσιν πρός γε ταύτην τὴν ἀπορίαν, ὅτι καὶ ἐπὶ τῶν ἄλλων αἰσθήσεών εἰσιν ἐναντιώσεις πλείους, οἷον ἐν φωνῇ οὐ μόνον ὀξύτης καὶ βαρύτης, ἀλλὰ καὶ μέγεθος καὶ μικρότης καὶ λειότης καὶ τραχύτης φωνῆς καὶ τοιαῦθ' ἕτερα. εἰσὶ δὲ καὶ περὶ χρῶμα διαφοραὶ τοιαῦται ἕτεραι. ἀλλὰ τί τὸ ἓν τὸ ὑποκείμενον, ὥσπερ ἀκοῇ ψόφος, οὕτω τῇ ἁφῇ, οὐκ ἔστιν ἔνδηλον.

πότερον δ' ἐστὶ τὸ αἰσθητήριον ἐντός, ἢ οὔ, ἀλλ' εὐ- 423a *θέως ἡ σάρξ, οὐδὲν δοκεῖ σημεῖον εἶναι τὸ γίνεσθαι τὴν αἴσθησιν ἅμα θιγγανομένων. καὶ γὰρ νῦν εἴ τις περὶ τὴν σάρκα περιτείνειεν οἷον ὑμένα ποιήσας, ὁμοίως τὴν αἴσθησιν εὐθέως ἀψάμενος ἐνσημαίνει· καίτοι δῆλον ὡς οὐκ ἔστιν ἐν τούτῳ τὸ αἰσθητήριον· εἰ δὲ καὶ συμφυὲς γένοιτο, θᾶττον ἔτι διικνοῖτ' ἂν ἡ αἴσθησις. διὸ τὸ τοιοῦτο μόριον τοῦ σώματος ἔοι-*

τῆς W et fort. Simpl., *καὶ περὶ ἁφῆς* etiam Philop. Torst. || 20. *τὸ* ante *τοῦ* om. SVX Simpl. || *ἁπτικοῦ* omnes codd. praeter W, qui *ἁπτοῦ* habet, *ἁπτικοῦ* etiam Simpl. Soph. et, ut videtur, Them., *ἁπτοῦ ἁπτικόν* de coniect. scripsit Bek., quem secuti sunt Trend. Torst. || 21. *ἡ* om. SUVW, leg. Them. Simpl. Soph. || 23. *τε* om. X, huic *τε* respondet 25. *δὲ*, cf. Bz. Oestr. Gymn. Zeitschr. 1867 p. 680. || 26. *εἰσὶν* STUVX || 34. *δῆλον* SUVX, *ἓν δῆλον* E, *ἓν δῆλον* T, *ἔνδηλον* etiam Simpl. Philop. || 423a, 1. post *σάρξ* signum interrogationis Bek. Trend., virgulam Torst. || *τῶι* E || 2. *νῦν* om. SUV, leg. Them. || 4. *ἀψαμένοις* (in interpret. Them.) vel *ἀψαμένῳ* coni. Trend., *ἀψαμένου* coni. Torst. || *ἐνσημήνειε* X, *ἂν ἐνσημαίνει* T || 6. *τοιοῦτον* STUV·WX Them., *τοιοῦτο* Philop.

given the reason for the first difficulty.

Is it one sense or many? In the tongue touch = taste. Body = 1

[illegible]

[illegible]

hence air & water the media of the other senses, are distinct.

: τὸ προσπεφυκὸς σῶμα εἶναι τὸ μεταξύ

Direct touch impossible. Touch like the other senses has a medium,

that wh has foreign & superficial moisture

κεν οὕτως ἔχειν ὥσπερ ἂν εἰ κύκλῳ ἡμῖν περιεπεφύκει ὁ ἀήρ· ἐδοκοῦμεν γὰρ ἂν ἑνί τινι αἰσθάνεσθαι καὶ ψόφου καὶ χρώματος καὶ ὀσμῆς, καὶ μία τις αἴσθησις εἶναι ὄψις ἀκοὴ ὄσφρησις. νῦν δὲ διὰ τὸ διωρίσθαι δι' οὗ γίνονται αἱ κινήσεις, φανερὰ τὰ εἰρημένα αἰσθητήρια ἕτερα ὄντα. ἐπὶ δὲ τῆς ἁφῆς τοῦτο νῦν ἄδηλον· ἐξ ἀέρος μὲν γὰρ ἢ ὕδατος ἀδύνατον συστῆναι τὸ ἔμψυχον σῶμα· δεῖ γάρ τι στερεὸν εἶναι. λείπεται δὲ μικτὸν ἐκ γῆς καὶ τούτων εἶναι, οἷον βούλεται <εἶναι> ἡ σὰρξ καὶ τὸ ἀνάλογον· ὥστε ἀναγκαῖον καὶ τὸ σῶμα εἶναι τὸ μεταξὺ τοῦ ἁπτικοῦ προσπεφυκός, δι' οὗ γίνονται αἱ αἰσθήσεις πλείους οὖσαι. δηλοῖ δ' ὅτι πλείους ἡ ἐπὶ τῆς γλώττης ἁφή· ἁπάντων γὰρ τῶν ἁπτῶν αἰσθάνεται κατὰ τὸ αὐτὸ μόριον καὶ χυμοῦ. εἰ μὲν οὖν καὶ ἡ ἄλλη σὰρξ ᾐσθάνετο τοῦ χυμοῦ, ἐδόκει ἂν ἡ αὐτὴ καὶ μία εἶναι αἴσθησις ἡ γεῦσις καὶ ἡ ἁφή· νῦν δὲ δύο διὰ τὸ μὴ ἀντιστρέφειν.

ἀπορήσειε δ' ἄν τις, εἰ πᾶν σῶμα βάθος ἔχει, τοῦτο δ' ἐστὶ τὸ τρίτον μέγεθος· ὧν δ' ἐστὶ δύο σωμάτων μεταξὺ σῶμά τι, οὐκ ἐνδέχεται ταῦτα ἀλλήλων ἅπτεσθαι· τὸ δ' ὑγρὸν οὐκ ἔστιν ἄνευ σώματος, οὐδὲ τὸ διερόν, ἀλλ' ἀναγκαῖον ὕδωρ εἶναι ἢ ἔχειν ὕδωρ· τὰ δὲ ἁπτόμενα ἀλλήλων ἐν τῷ ὕδατι, μὴ ξηρῶν τῶν ἄκρων ὄντων, ἀναγκαῖον ὕδωρ ἔχειν μεταξύ, οὗ ἀνάπλεα τὰ ἔσχατα·

9. ὀδμῆς ETW, ὀσμῆς Philop. ‖ 10. κινήσεις καὶ αἱ αἰσθήσεις U, αἰσθήσεις γρ. S et Them., textum tuetur Soph. ‖ 12. τοῦτο μὲν νῦν ETW, om. μὲν etiam Simpl. ‖ 13. pro ἔμψυχον coni. μεταξὺ ὂν Susemihl, Burs. Jahrb. IX, 351. ‖ 14. δὴ VW Them. Bek. Trend. ‖ post βούλεται excidisse εἶναι καὶ coni. Torst., sed nihil nisi εἶναι desideratur, quod ex Themistio et Sophonia recepi ‖ 15. ἀνάλογον. εἰ γὰρ πᾶσα αἴσθησις διὰ τοῦ μεταξύ, καὶ ἡ ἁφή Ald. Basil., quod additamentum e Themistio (cf. p. 134, 26) fluxisse recte iudicat iam Basil. in margine ‖ καὶ] εἶναι καὶ E, om. U Torst. ‖ τὸ ante μεταξύ TXy Them. Simpl. Torst., quod probat etiam Steinhart l. l., om. τὸ reliqui ‖ 18. αἴσθεται STU ‖ 22. ἀπορήσειε . . . 423b, 3. ἄποθεν. vid. Torst. et Bon., stud. Arist. II, III, 62, quem in interpungendis singulis enunciationis membris secutus sum ‖ 23. δύο om. SUVX, leg. Soph. ‖ 24. αὐτὰ EWy, ταῦτα Them. Soph. ‖ 25. ὕδατος SVX, leg. ὕδωρ Simpl. ‖ 27. οὗ] ᾧ STUVX, οὗ Them. Soph.

εἰ δὲ τοῦτ' ἀληθές, ἀδύνατον ἅψασθαι ἄλλο ἄλλου ἐν ὕδατι· τὸν αὐτὸν δὲ τρόπον καὶ ἐν τῷ ἀέρι (ὁμοίως γὰρ ἔχει ὁ ἀὴρ πρὸς τὰ ἐν αὐτῷ καὶ τὸ ὕδωρ πρὸς τὰ ἐν τῷ ὕδατι, λανθάνει δὲ μᾶλλον ἡμᾶς, ὥσπερ καὶ τὰ ἐν τῷ ὕδατι ζῷα, 423b εἰ διερὸν διεροῦ ἅπτεται)· πότερον οὖν πάντων ὁμοίως ἐστὶν ἡ αἴσθησις, ἢ ἄλλων ἄλλως, καθάπερ νῦν δοκεῖ ἡ μὲν γεῦσις καὶ ἡ ἁφὴ τῷ ἅπτεσθαι, αἱ δ' ἄλλαι ἄποθεν. τὸ δ' οὐκ ἔστιν, ἀλλὰ καὶ τὸ σκληρὸν καὶ τὸ μαλακὸν δι' ἑτέρων αἰσθανόμεθα, ὥσπερ καὶ τὸ ψοφητικὸν καὶ τὸ ὁρατὸν καὶ τὸ ὀσφραντόν· ἀλλὰ τὰ μὲν πόρρωθεν, τὰ δ' ἐγγύθεν. διὸ λανθάνει· ἐπεὶ αἰσθανόμεθά γε πάντων διὰ τοῦ μέσου· ἀλλ' ἐπὶ τούτων λανθάνει. καίτοι καθάπερ εἴπαμεν καὶ πρότερον, κἂν εἰ δι' ὑμένος αἰσθανοίμεθα τῶν ἁπτῶν ἁπάντων λανθάνοντος ὅτι διείργει, ὁμοίως ἂν ἔχοιμεν ὥσπερ καὶ νῦν ἐν τῷ ὕδατι καὶ ἐν τῷ ἀέρι· δοκοῦμεν γὰρ νῦν αὐτῶν ἅπτεσθαι καὶ οὐδὲν εἶναι διὰ μέσου. ἀλλὰ διαφέρει τὸ ἁπτὸν τῶν ὁρατῶν καὶ τῶν ψοφητικῶν, ὅτι ἐκείνων μὲν αἰσθανόμεθα τῷ τὸ μεταξὺ ποιεῖν τι ἡμᾶς, τῶν δὲ ἁπτῶν οὐχ ὑπὸ τοῦ μεταξὺ ἀλλ' ἅμα τῷ μεταξύ, ὥσπερ ὁ δι' ἀσπίδος πληγείς· οὐ γὰρ ἡ ἀσπὶς πληγεῖσα ἐπάταξεν, ἀλλ' ἅμ' ἄμφω συνέβη πληγῆναι. ὅλως δ' ἔοικεν ἡ σὰρξ καὶ ἡ γλῶττα, ὡς ὁ ἀὴρ καὶ τὸ ὕδωρ πρὸς τὴν ὄψιν καὶ τὴν ἀκοὴν καὶ τὴν ὄσφρησιν ἔχουσιν, οὕτως ἔχειν πρὸς τὸ αἰσθητήριον ὥσπερ

30. *τὸ* om. T et E (Trend.), leg. Soph. ‖ *ἐν αὐτῷ τῷ ὕδ.* ETWy, *ἐν αὐτῷ ὕδ.* Soph., reliqui et scripti et impressi *ἐν τῷ ὕδ.* ‖ 423b, 1. *ἁπάντων* SUVW ‖ 2. *ἄλλως; καθ.* Torst., *ἄλλως, καθ.* Bek. Trend. Bon. ‖ 3. *ἄποθεν; τὸ* Trend.. *ἄποθεν. τὸ* Bek. Torst. Bon. ‖ 6. *τὸ* SVX ‖ *τὸ* SUVX, *τὰ* utroque loco Soph. ‖ 8. *εἴπαμεν* solus E, reliqui codd. *εἴπομεν* ‖ 9. *ῃσθανοίμεθα* E, *αἰσθανόμεθα* STUVX, *αἰσθανοίμεθα* etiam Them. ‖ 11. *ἐν* om. SUWy ‖ *νῦν* om. SUVX Bek. Trend. Torst., leg. etiam vet. transl. ‖ 12. *ὁρατικῶν* E Ty ‖ 13. *τῶν* om. Ey Soph. ‖ *ἐκεῖνα* ESTUVX, *ἐκείνων* leg. Soph. ‖ 16. *ἀλλ' ἅμ' ἄμφω* e codd. solus E, Them. Soph. vet. transl. Torst., *ἅμ'* om. reliqui ‖ 17. *γλῶσσα* STUVXy.

ἀήρ. τὸ ὕδωρ. λανθάνει.

ἅετων.

: has a purely passive function.

Touch a mean. Unaffected by extremes. Of opposites.
as agst e.g. colour.

οἷον τὸ ἅπτα ἐνεργεῖ

ἐκείνων ἕκαστον. αὐτοῦ δὲ τοῦ αἰσθητηρίου ἁπτομένου οὔτ' ἐκεῖ οὔτ' ἐνταῦθα γένοιτ' ἂν αἴσθησις, οἷον εἴ τις σῶμα [τὸ] λευκὸν ἐπὶ τοῦ ὄμματος θείη τὸ ἔσχατον. ᾗ καὶ δῆλον ὅτι ἐντὸς τὸ τοῦ ἁπτοῦ αἰσθητικόν. οὕτω γὰρ ἂν συμβαίνοι ὅπερ καὶ ἐπὶ τῶν ἄλλων· ἐπιτιθεμένων γὰρ ἐπὶ τὸ αἰσθητήριον οὐκ αἰσθάνεται, ἐπὶ δὲ τὴν σάρκα ἐπιτιθεμένων αἰσθάνεται· ὥστε τὸ μεταξὺ τοῦ ἁπτικοῦ ἡ σάρξ.

ἁπταὶ μὲν οὖν εἰσὶν αἱ διαφοραὶ τοῦ σώματος ᾗ σῶμα· λέγω δὲ διαφορὰς αἳ τὰ στοιχεῖα διορίζουσι, θερμὸν ψυχρόν, ξηρὸν ὑγρόν, περὶ ὧν εἰρήκαμεν πρότερον ἐν τοῖς περὶ τῶν στοιχείων. τὸ δὲ αἰσθητήριον αὐτῶν τὸ ἁπτικόν, καὶ ἐν ᾧ ἡ καλουμένη ἁφὴ ὑπάρχει αἴσθησις πρώτῳ, τὸ δυνάμει τοιοῦτόν ἐστι μόριον· τὸ γὰρ αἰσθάνεσθαι πάσχειν τι ἐστίν. ὥστε τὸ ποιοῦν οἷον αὐτὸ 424a ἐνεργείᾳ, τοιοῦτον ἐκεῖνο ποιεῖ δυνάμει ὄν. διὸ τοῦ ὁμοίως θερμοῦ καὶ ψυχροῦ ἢ σκληροῦ καὶ μαλακοῦ οὐκ αἰσθανόμεθα, ἀλλὰ τῶν ὑπερβολῶν, ὡς τῆς αἰσθήσεως οἷον μεσότητός τινος οὔσης τῆς ἐν τοῖς αἰσθητοῖς ἐναντιώσεως. καὶ διὰ τοῦτο κρίνει τὰ αἰσθητά. τὸ γὰρ μέσον κριτικόν· γίνεται γὰρ πρὸς ἑκάτερον αὐτῶν θάτερον τῶν ἄκρων· καὶ δεῖ ὥσπερ τὸ μέλλον αἰσθήσεσθαι λευκοῦ καὶ μέλανος μηδέτερον αὐτῶν εἶναι ἐνεργείᾳ, δυνάμει δ' ἄμφω (οὕτω δὲ καὶ ἐπὶ τῶν ἄλλων), καὶ ἐπὶ τῆς

20. *ἁπτομένων* UVX ‖ 21. *τὸ* ante *σῶμα* e priori editione suscepit Torst. ‖ 22. *τὸ* ante *λευκὸν* om. SUVX ‖ *ἢ* W, om. SUV, *ᾗ* etiam Simpl. ‖ 23. *αἰσθητήριον* TW, *αἰσθητικὸν* etiam Simpl. ‖ 24. *ὥσπερ* SUVX ‖ *καὶ* om. STUVWXy ‖ 27. *ἁπτὰ* TUV Philop. Soph., *ἁπταὶ* etiam Simpl. p. 158, 23. ‖ 28. *αἷς* SUVX et fort. Soph. ‖ 29. *περὶ τῶν στ.* ETy Philop., *τῶν* om. Simpl. Soph. ‖ 31. *ὑπάρχει αἴσθησις πρώτῳ* E Simpl. 158, 25, *ὑπάρχει αἴσθησις καὶ πρώτῳ* TW, *αἴσθησις πρώτως* y, „in quo sensus vocatus tactus" vet. transl., *αἴσθησις* om. reliqui, etiam Them. Soph. Bek. Trend. Torst. ‖ 424a, 2. *τὸ δυνάμει ὂν* e prima editione scripsit Torst. ‖ 2. *ὁμοίου* SUX, *ὁμοίως* etiam Them. Simpl. Soph. ‖ *καὶ*] *ἢ* SUV Them. Soph. ‖ 3. *ἢ*] *καὶ* V ‖ *καὶ*] *ἢ* SUV Them. Soph. ‖ 5. *καὶ* om. E, leg. Soph. ‖ 6. *αἰσθητήρια* STUX, *αἰσθητά* etiam Philop. Soph. ‖ 9. *οὕτω .... ἄλλων* in parenth. Torst. ‖ *δὴ* SUW Bek. Trend., om. X ‖ *ἐπὶ* ante *τῆς* om. STVX.

ἁφῆς μήτε θερμὸν μήτε ψυχρόν. ἔτι δ' ὥσπερ ὁρατοῦ καὶ ἀοράτου ἦν πως ἡ ὄψις, ὁμοίως δὲ καὶ αἱ λοιπαὶ τῶν ἀντικειμένων, οὕτω καὶ ἡ ἁφὴ τοῦ ἁπτοῦ καὶ ἀνάπτου· ἄναπτον δ' ἐστὶ τό τε μικρὰν ἔχον πάμπαν διαφορὰν τῶν ἁπτῶν, οἷον πέπονθεν ὁ ἀήρ, καὶ τῶν ἁπτῶν αἱ ὑπερβολαί, ὥσπερ τὰ φθαρτικά. καθ' ἑκάστην μὲν οὖν τῶν αἰσθήσεων εἴρηται τύπῳ.

12 Καθόλου δὲ περὶ πάσης αἰσθήσεως δεῖ λαβεῖν ὅτι ἡ μὲν αἴσθησίς ἐστι τὸ δεκτικὸν τῶν αἰσθητῶν εἰδῶν ἄνευ τῆς ὕλης, οἷον ὁ κηρὸς τοῦ δακτυλίου ἄνευ τοῦ σιδήρου καὶ τοῦ χρυσοῦ δέχεται τὸ σημεῖον, λαμβάνει δὲ τὸ χρυσοῦν ἢ τὸ χαλκοῦν σημεῖον, ἀλλ' οὐχ ᾗ χρυσὸς ἢ χαλκός· ὁμοίως δὲ καὶ ἡ αἴσθησις ἑκάστου ὑπὸ τοῦ ἔχοντος χρῶμα ἢ χυμὸν ἢ ψόφον πάσχει, ἀλλ' οὐχ ᾗ ἕκαστον ἐκείνων λέγεται, ἀλλ' ᾗ τοιονδί, καὶ κατὰ τὸν λόγον. αἰσθητήριον δὲ πρῶτον ἐν ᾧ ἡ τοιαύτη δύναμις. ἔστι μὲν οὖν ταὐτόν, τὸ δ' εἶναι ἕτερον· μέγεθος μὲν γὰρ ἄν τι εἴη τὸ αἰσθανόμενον· οὐ μὴν τό γε αἰσθητικῷ εἶναι οὐδ' ἡ αἴσθησις μέγεθός ἐστιν, ἀλλὰ λόγος τις καὶ δύναμις ἐκείνου. φανερὸν δ' ἐκ τούτων καὶ διὰ τί ποτε τῶν αἰσθητῶν αἱ ὑπερβολαὶ φθείρουσι τὰ αἰσθητήρια· ἐὰν γὰρ ᾖ ἰσχυροτέρα τοῦ αἰσθητηρίου ἡ κίνησις, λύεται ὁ λόγος (τοῦτο δ' ἦν ἡ αἴσθησις), ὥσπερ καὶ ἡ συμφωνία καὶ ὁ τόνος κρουομένων σφόδρα τῶν χορδῶν· καὶ διὰ τί ποτε τὰ φυτὰ οὐκ αἰσθάνεται, ἔχοντά τι μόριον ψυχικὸν καὶ πάσχοντά τι ὑπὸ τῶν ἁπτῶν αὐτῶν· καὶ γὰρ ψύχε-
424b ται καὶ θερμαίνεται· αἴτιον γὰρ τὸ μὴ ἔχειν μεσότητα, μηδὲ

18. εἰδῶν om. SUX Soph. Torst., leg. Them. et sine dubio Simpl. Philop. ‖ 19. ὁ om. ETy, leg. Them. Philop. Simpl. Soph. ‖ 24. τὸν om. E (Trend.), τοιονδὶ κατὰ λόγον Soph. ‖ 25. ταὐτὸ T Torst., ταυτὰ SX, ταὐτὸν Them. Philop. Simpl. ‖ 26. τι εἴη] ἦν X ‖ 28. ἐκεῖνο E, ἐκείνου etiam Them. Simpl. Soph. ‖ 31. ἦν om. ETWy, leg. Them. Soph. ‖ τοῦτο . . . αἴσθησις in parenth. Torst. ‖ 34. τι om. SUX Them. ‖ ἁπτῶν αὐτῶν· καὶ ETW, αὐτῶν om. Them. Soph.

[illegible] common sense, of [illegible]

12. Sensation in general.

individual

dans sa forme cartésienne Desc.

la sensibilité. ἡ αἰσθητικὴ δύναμις & τὸ αἰσθητήριον.

τὸ ὄργανον [illegible].

la sensibilité.

οὐδὲν οἷόν τε ἐστι πάσχειν

οὐκ ἢ ἔρβονη ἢ ἀκουστόν

τὰ ἄλλα αἰσθητά.

+ :. οὐ δοκεῖ πάσχειν Ph.

1. Limits of Sense. Common senses.

There cannot be more than our five senses.

τοιαύτην ἀρχὴν οἵαν τὰ εἴδη δέχεσθαι τῶν αἰσθητῶν, ἀλλὰ πάσχειν μετὰ τῆς ὕλης. ἀπορήσειε δ' ἄν τις εἰ πάθοι ἄν τι ὑπ' ὀσμῆς τὸ ἀδύνατον ὀσφρανθῆναι, ἢ ὑπὸ χρώματος τὸ μὴ δυνάμενον ἰδεῖν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. εἰ δὲ τὸ ὀσφραντὸν ὀσμή, εἴ τι ποιεῖ, τὴν ὄσφρησιν ἡ ὀσμὴ ποιεῖ· ὥστε τῶν ἀδυνάτων ὀσφρανθῆναι οὐθὲν οἷόν τε πάσχειν ὑπ' ὀδμῆς· ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων· οὐδὲ τῶν δυνατῶν, ἀλλ' ᾗ αἰσθητικὸν ἕκαστον. ἅμα δὲ δῆλον καὶ οὕτως. οὔτε γὰρ φῶς καὶ σκότος οὔτε ψόφος οὔτε ὀσμὴ οὐδὲν ποιεῖ τὰ σώματα, ἀλλ' ἐν οἷς ἐστίν, οἷον ἀὴρ ὁ μετὰ βροντῆς διίστησι τὸ ξύλον. ἀλλὰ τὰ ἁπτὰ καὶ οἱ χυμοὶ ποιοῦσιν· εἰ γὰρ μή, ὑπὸ τίνος ἂν πάσχοι τὰ ἄψυχα καὶ ἀλλοιοῖτο; ἆρ' οὖν κἀκεῖνα ἐμποιεῖ ἢ οὐ πᾶν σῶμα παθητικὸν ὑπ' ὀσμῆς καὶ ψόφου· καὶ τὰ πάσχοντα ἀόριστα, καὶ οὐ μένει, οἷον ἀήρ· ὄζει γὰρ ὥσπερ παθών τι. τί οὖν ἐστὶ τὸ ὀσμᾶσθαι παρὰ τὸ πάσχειν τι; ἢ τὸ μὲν ὀσμᾶσθαι καὶ αἰσθάνεσθαι, ὁ δ' ἀὴρ παθὼν ταχέως αἰσθητὸς γίνεται.

Γ.

Ὅτι δ' οὐκ ἔστιν αἴσθησις ἑτέρα παρὰ τὰς πέντε (λέγω δὲ ταύτας ὄψιν, ἀκοήν, ὄσφρησιν, γεῦσιν, ἁφήν), ἐκ τούτων πιστεύσειεν ἄν τις. εἰ γὰρ παντός, οὗ ἐστὶν αἴσθησις ἁφή, καὶ

424b, 2. *δέχεσθαι τὰ εἴδη* SVX, textum tuetur Them. ‖ 4. *τι* om. ETWy Torst., leg. etiam Them. ‖ *ὀδμῆς* ET ‖ 6. *ὀδμὴ* E ‖ virgulam post *ποιεῖ* omissam post *ὄσφρησιν* ponit Bek., correxit Trend., quem secutus est Torst. ‖ *ἡ* UW, om. SVX ‖ *ὀδμὴ* E ‖ 7. *ὑπ' ὀδμῆς* om. SUX ‖ 11. *ὁ ἀὴρ.* S, *ὁ ἀὴρ ὁ* UWX, *ἀὴρ* V ‖ 14. *ἐμποιεῖ* ETWy, *ἐμποιήσει* U, *ποιήσει* reliqui ‖ *ὀδμῆς* ETV ‖ 16. et 17. *τι* om. SUX ‖ 17. *καὶ* ante *αἰσθάνεσθαι* ex solo E (Bus.) addidit Torst., *καὶ* om. Philop. ‖ 22. Hinc etiam cod. L ‖ 23. *τούτων* EW Soph., *τῶνδε δῆλον* SX, *τῶνδε* etiam Them. ‖ 24. huius enunciationis *εἰ γὰρ* ... apodosin incipit ab *ὥστε* 425a, 11. Torst., ab *πᾶσαι ἄρα* a, 9. Bon., quod iam. Simpl. fecerat, in interpungendis singulis comprehensionis membris secutus sum Bon.

νῦν αἴσθησιν ἔχομεν (πάντα γὰρ τὰ τοῦ ἁπτοῦ ᾗ ἁπτὸν πάθη τῇ ἁφῇ ἡμῖν αἰσθητά ἐστιν), ἀνάγκη τ', εἴπερ ἐκλείπει τις αἴσθησις, καὶ αἰσθητήριόν τι ἡμῖν ἐκλείπειν· καὶ ὅσων μὲν αὐτῶν ἁπτόμενοι αἰσθανόμεθα, τῇ ἁφῇ αἰσθητά ἐστιν, ἣν τυγχάνομεν ἔχοντες, ὅσα δὲ διὰ τῶν μεταξὺ καὶ μὴ αὐτῶν ἁπτόμενοι, τοῖς ἁπλοῖς, λέγω δ' οἷον ἀέρι καὶ ὕδατι· ἔχει δ' οὕτως, ὥστ' εἰ μὲν δι' ἑνὸς πλείω αἰσθητὰ ἕτερα ὄντα ἀλλήλων τῷ γένει, ἀνάγκη τὸν ἔχοντα τὸ τοιοῦτον αἰσθητήριον ἀμφοῖν αἰσθητικὸν εἶναι (οἷον εἰ ἐξ ἀέρος ἐστὶ τὸ αἰσθητήριον, καὶ ἔστιν ὁ ἀὴρ καὶ ψόφου καὶ χρόας), εἰ δὲ πλείω τοῦ αὐτοῦ, οἷον χρόας καὶ ἀὴρ καὶ ὕδωρ (ἄμφω γὰρ διαφανῆ), καὶ ὁ τὸ ἕτερον αὐτῶν ἔχων μόνον αἰσθήσεται τοῦ δι' ἀμφοῖν· τῶν δὲ ἁπλῶν ἐκ δύο τούτων αἰσθητήρια μόνον ἐστίν, ἐξ ἀέρος καὶ ὕδατος (ἡ μὲν γὰρ κόρη ὕδατος, ἡ δ' ἀκοὴ ἀέρος, ἡ δ' ὄσφρησις θατέρου τούτων), τὸ δὲ πῦρ ἢ οὐθενὸς ἢ κοινὸν πάντων (οὐθὲν γὰρ ἄνευ θερμότητος αἰσθητικόν), γῆ δὲ ἢ οὐθενός, ἢ ἐν τῇ ἁφῇ μάλιστα μέμικται ἰδίως· διὸ λείποιτ' ἂν μηθὲν εἶναι αἰσθητήριον ἔξω ὕδατος καὶ ἀέρος· ταῦτα δὲ καὶ νῦν ἔχουσιν ἔνια ζῷα· πᾶσαι ἄρα αἱ αἰσθήσεις ἔχονται ὑπὸ τῶν μὴ ἀτελῶν μηδὲ πεπηρωμένων· φαίνεται γὰρ καὶ ἡ ἀσπάλαξ ὑπὸ τὸ δέρμα ἔχουσα ὀφθαλμούς· ὥστ' εἰ μή τι

25. ἔχομεν αἴσθησιν STUW, vulgatam tuentur Alex. 169. et Simpl. ‖ 27. τι om. L, post ἡμῖν ponit W, αἰσθητήριόν τι etiam Alex. l. l. et Simpl. ‖ ἐκλιπεῖν pr. E (Bek.) nunc ἐκλείπειν (Trend.), ἐκλείπειν etiam Alex. 171, 6. Them. Simpl. ‖ 28. αὐτοὶ TWy Alex. 169 et 171, 16, αὐτῶν etiam Simpl. 178, 29. 187, 21. et Soph. ‖ 30. ἁπλοῖς διαστήμασι λ. TW et margo U, ἁπλοῖς ἀποστήμασι Simpl., vulgatam tuentur Alex. 170, 3. 171, 19. Philop. Soph. ‖ 32. ἀλλήλων ὄντα τῷ γένει STUVWy, textum receptum tuentur Alex. 172 et Simpl. ‖ τὸ om. TUy Simpl., leg. etiam Alex. 172 ‖ 425a, 2. τοῦ δι'] τοῖν L, om. SUVX et pr. E Philop. Bek., τοῦ δι' TW Simpl. vet. transl. Trend. Torst. ‖ 6. γῆ δὲ] ἡ δὲ γῆ SUW, γῆ δὲ etiam Them. Philop. ‖ 7. ἢ om. pr. E (Trend.) W Philop., ἢ οὐδενὸς ἢ om. SUV ‖ ἰδίως om. LUVXy, leg. Simpl. ‖ διὸ in rasura E_2 (Bhl.) om. LSUVX ‖ λίποιτ' E_1, λειποιτ' E_2 (Bhl.) ‖ 11. σπάλαξ ES Bek., πάλαξ y, ἀσπάλαξ Them. Simpl. Philop.

(1)

There is no ~~comm~~ special sense for objects of the common sense
< wanting to us >

= κ. αἰσθ. R.

ie in virtue of previous experience or association.

ἕτερόν ἐστι σῶμα, καὶ πάθος ὃ μηθενός ἐστι τῶν ἐνταῦθα σωμάτων, οὐδεμία ἂν ἐκλείποι αἴσθησις.

ἀλλὰ μὴν οὐδὲ τῶν κοινῶν οἷόν τ' εἶναι αἰσθητήριόν τι ἴδιον, ὧν ἑκάστῃ αἰσθήσει αἰσθανόμεθα ⟨οὐ⟩ κατὰ συμβεβηκός, οἷον κινήσεως, στάσεως, σχήματος, μεγέθους, ἀριθμοῦ, ἑνός· ταῦτα γὰρ πάντα κινήσει αἰσθανόμεθα, οἷον μέγεθος κινήσει· ὥστε καὶ σχῆμα· μέγεθος γάρ τι τὸ σχῆμα· τὸ δ' ἠρεμοῦν τῷ μὴ κινεῖσθαι· ὁ δ' ἀριθμὸς τῇ ἀποφάσει τοῦ συνεχοῦς, καὶ τοῖς ἰδίοις· ἑκάστη γὰρ ἓν αἰσθάνεται αἴσθησις. ὥστε δῆλον ὅτι ἀδύνατον ὁτουοῦν ἰδίαν αἴσθησιν εἶναι τούτων, οἷον κινήσεως· οὕτω γὰρ ἔσται ὥσπερ νῦν τῇ ὄψει τὸ γλυκὺ αἰσθανόμεθα. τοῦτο δ' ὅτι ἀμφοῖν ἔχοντες τυγχάνομεν αἴσθησιν, ἧ καὶ ὅταν συμπέσωσιν ἅμα γνωρίζομεν· εἰ δὲ μή, οὐδαμῶς ἂν ἀλλ' ἢ κατὰ

Soph. Trend. Torst. ‖ *τοὺς ὀφθαλμούς* TUWy, *τοὺς* om. etiam Them. Philop. Soph. ‖ 13. *μίαν λιποι* E, *μία ἂν ἐλλείποι* Ly Simpl., *ἂν λείποιτο* T, *ἂν ἐκλείποι* E_2 S Alex. 170. Them. Torst., *ἂν ἐκλίποι* reliqui ‖ 15. *ὧν καὶ ἐκ.* E Torst., *καὶ* om. ceteri codd. et Simpl. Philop. ‖ 15. *οὐ* a Torst. coni. et a Neuhaeusero l. l. p. 36. probatum in textum recepi, quamquam omiserunt omnes codd. et Them. Philop. Simpl., „non secundum accidens“ vet. transl., *οὐ* non necessarium esse iudicant Zeller, Gesch. d. Phil. d. Gr. II, 2, p. 543, Brentano l. l. 82, Kampe, d. Erkenntnistheorie des Arist. 104, Susemihl l. l. ‖ 15. *οἷον* . . . 19. *συνεχοῦς* in parenthesi ponenda et ante 19. *καὶ τοῖς ἰδίοις* lacunam esse censet Susemihl ‖ 16. post *ἀριθμοῦ* comma posuit Torst., iam Philop. hunc locum ita interpretatus est ‖ *ἑνός* om. V ‖ 17. *κινήσει*] *κοινῇ* e Simpl. scripsit Torst., sed et Simpl. 183, 4. et Them. et Soph. habent *κινήσει*, quod probat etiam Neuhaeuser l. l. p. 32 ‖ 17. post *οἷον* lacunam esse eamque sic explendam putat Torst.: *κίνησιν· τὸ δὲ*, vulgatam leg. Simpl. ‖ 18. *μεγέθους* coni. Torst., *μέγεθος* etiam Philop. Soph., defendit Freudenthal, Rhein. Mus. 1869 p. 396. ‖ *τι καὶ τὸ* STW, *καὶ* om. etiam Philop. Soph. ‖ 21. *οὕτω* . . . . 24. et 27. *τῶν δὲ* . . . . 28. *ἰδία* posterioris, sed 24. *εἰ δὲ* . . . . 29. *εἴρηται* prioris recensionis esse iudicat Torst., quod refellit Neuhaeuser l. l. p. 32. ‖ 23. *καὶ* om. praeter E omnes codd. ‖ 24. *ἅμα γνωρίζομεν* E Simpl. Torst., *ἀναγνωρίζομεν* T Bek. Trend., *γνωρίζομεν* reliqui.

συμβεβηκὸς ᾐσθανόμεθα, οἷον τὸν Κλέωνος υἱὸν οὐχ ὅτι Κλέωνος υἱός, ἀλλ' ὅτι λευκός· τούτῳ δὲ συμβέβηκεν υἱῷ Κλέωνος εἶναι. τῶν δὲ κοινῶν ἤδη ἔχομεν αἴσθησιν κοινήν, οὐ κατὰ συμβεβηκός· οὐκ ἄρ' ἐστὶν ἰδία· οὐδαμῶς γὰρ ἂν ᾐσθανόμεθα ἀλλ' ἢ οὕτως ὥσπερ εἴρηται [τὸν Κλέωνος υἱὸν ἡμᾶς ὁρᾶν]. τὰ δ' ἀλλήλων ἴδια κατὰ συμβεβηκὸς αἰσθάνονται αἱ αἰσθήσεις, οὐχ ᾗ αὐταί, ἀλλ' ᾗ μία, ὅταν ἅμα γένηται ἡ αἴσθησις ἐπὶ τοῦ αὐτοῦ, οἷον χολὴ ὅτι πικρὰ καὶ ξανθή· οὐ γὰρ δὴ ἑτέρας γε τὸ εἰπεῖν ὅτι ἄμφω ἕν· διὸ καὶ ἀπατᾶται, καὶ ἐὰν ᾖ ξανθόν, χολὴν οἴεται εἶναι. ζητήσειε δ' ἄν τις τίνος ἕνεκα πλείους ἔχομεν αἰσθήσεις, ἀλλ' οὐ μίαν μόνην. ἢ ὅπως ἧττον λανθάνῃ τὰ ἀκολουθοῦντα καὶ κοινά, οἷον κίνησις καὶ μέγεθος καὶ ἀριθμός· εἰ γὰρ ἦν ἡ ὄψις μόνη, καὶ αὐτὴ λευκοῦ, ἐλάνθανεν ἂν μᾶλλον κἂν ἐδόκει ταὐτὰ εἶναι πάντα διὰ τὸ ἀκολουθεῖν ἀλλήλοις ἅμα χρῶμα καὶ μέγεθος. νῦν δ' ἐπεὶ καὶ ἐν ἑτέρῳ αἰ-

25. *αἰσθανοίμεθα* L, *αἰσθανόμεθα* ETUVWy Philop. ‖ 26. *κλέωνος γὰρ υἱὸς* STVW ‖ *τοῦτο* LVX ‖ 27. *ἔχομεν ἤδη αἴσθησιν* LTUW, *ἔχομεν αἴσθησιν ἤδη* SVX ‖ 28. *οὐδαμῶς* .... 30. *ὁρᾶν*, quae etiam Trend. suspecta sunt, ut prorsus hic inepta delenda censet Steinhart ‖ 29. *ἢ* om. ELTV, leg. Simpl. Philop. ‖ *τὸν* ... *ὁρᾶν* unc. inclusi cum Torst., quod probat etiam Neuhaeuser l. l. p. 34. et Kampe ‖ 31. *ᾗ*] *αἱ* EL, *ᾗ αἱ* SUy Bek. Trend., *αὗται* X Philop. Soph., *ᾗ αὐταί* etiam Simpl. Torst. Brentano l. l. 97. ‖ 425b, 1. *γένηται* om. SUV ‖ *ὅτι χολὴ* STUVWXy, *οιον χολὴν* E, sed *ν* eras. (Bhl.), *ο ον χολῆς* Simpl. ‖ 3. *καὶ ἐὰν*] *διὸ καὶ ἐὰν* E, *καὶ ἐὰν* omisso *διὸ* etiam Simpl. ‖ 4. *πλείονας* TW Philop., *πλείους* Simpl. Soph. ‖ 5. *μόνον* SUX, *μόνην* etiam Simpl. ‖ *ἧττον*] *μὴ* TVWXy, *ἢ* S, *ἧττον* etiam Simpl. Soph. ‖ 7. *ἡ* om. STUVWX ‖ *μόνον* L, om. pr. E ‖ *καὶ αὐτὴ λευκοῦ* unc. incl. Torst., leg. Philop. Simpl. et, ut videtur, Soph. ‖ *ἂν*] *κἂν* E, sed *κ* in rasura (Trend.), *ἂν* etiam Simpl Soph. ‖ 8. *κἂν*] *καὶ* Ey Soph. Bek. Trend., *κἂν* reliqui et corr. E_2 (Bhl.) ‖ *ταυτὸν* TX Simpl., *ταυτὸ* Wy Bek. Trend. Torst., *τοῦτο* SU, *ταὐτὰ* E (Bhl.) Soph. ‖ 9. pro *ἅμα* coni. *ἀεὶ* Torst., leg. *ἅμα* Simpl. Soph.

ἀλλὰ τῆς κοινῆς. ?

Why we have more than one sense. sc. τῶν κοινῶν

[illegible]

τὰ κοινά.

[illegible] ?

2. End of the theory of Sensation.

(2) How do we perceive that we perceive. no special sense for it. The common sense

ie the common sense &c. ∴

ie that wh. perceives external realities

[illegible] position of [illegible] . De Somno 2.

relations of agent & patient in sensation. la sensation est en partie sentiment de nous mêmes parce qu'elle est quelque chose de nous même.

σθητῷ τὰ κοινὰ ὑπάρχει, δῆλον ποιεῖ ὅτι ἄλλο τι ἕκαστον αὐτῶν.

2 Ἐπεὶ δ' αἰσθανόμεθα ὅτι ὁρῶμεν καὶ ἀκούομεν, ἀνάγκη ἢ τῇ ὄψει αἰσθάνεσθαι ὅτι ὁρᾷ, ἢ ἑτέρᾳ. ἀλλ' ἡ αὐτὴ ἔσται τῆς ὄψεως καὶ τοῦ ὑποκειμένου χρώματος. ὥστε ἢ δύο τοῦ αὐτοῦ ἔσονται ἢ αὐτὴ αὑτῆς. ἔτι δ' εἰ καὶ ἑτέρα εἴη ἡ τῆς ὄψεως αἴσθησις, ἢ εἰς ἄπειρον εἶσιν ἢ αὐτή τις ἔσται αὑτῆς. ὥστ' ἐπὶ τῆς πρώτης τοῦτο ποιητέον. ἔχει δ' ἀπορίαν· εἰ γὰρ τὸ τῇ ὄψει αἰσθάνεσθαί ἐστιν ὁρᾶν, ὁρᾶται δὲ χρῶμα ἢ τὸ ἔχον, εἰ ὄψεταί τις τὸ ὁρῶν, καὶ χρῶμα ἕξει τὸ ὁρῶν πρῶτον. φανερὸν τοίνυν ὅτι οὐχ ἓν τὸ τῇ ὄψει αἰσθάνεσθαι· καὶ γὰρ ὅταν μὴ ὁρῶμεν, τῇ ὄψει κρίνομεν καὶ τὸ σκότος καὶ τὸ φῶς, ἀλλ' οὐχ ὡσαύτως. ἔτι δὲ καὶ τὸ ὁρῶν ἔστιν ὡς κεχρωμάτισται· τὸ γὰρ αἰσθητήριον δεκτικὸν τοῦ αἰσθητοῦ ἄνευ τῆς ὕλης ἕκαστον. διὸ καὶ ἀπελθόντων τῶν αἰσθητῶν ἔνεισιν αἱ αἰσθήσεις καὶ φαντασίαι ἐν τοῖς αἰσθητηρίοις.

ἡ δὲ τοῦ αἰσθητοῦ ἐνέργεια καὶ τῆς αἰσθήσεως ἡ αὐτὴ μέν ἐστι καὶ μία, τὸ δ' εἶναι οὐ τὸ αὐτὸ αὐταῖς· λέγω δ' οἷον ὁ ψόφος ὁ κατ' ἐνέργειαν καὶ ἡ ἀκοὴ ἡ κατ' ἐνέργειαν· ἔστι γὰρ ἀκοὴν ἔχοντα μὴ ἀκούειν, καὶ τὸ ἔχον ψόφον οὐκ ἀεὶ ψοφεῖ. ὅταν δ' ἐνεργῇ τὸ δυνάμενον ἀκούειν καὶ ψοφῇ τὸ δυνάμενον ψοφεῖν, τότε ἡ κατ' ἐνέργειαν ἀκοὴ ἅμα γίνεται καὶ ὁ κατ' ἐνέργειαν ψόφος, ὧν εἴπειεν ἄν τις τὸ μὲν εἶναι ἄκουσιν τὸ δὲ ψόφησιν. 426a

13. ἢ τῇ ὄψει] ἤτοι ὄψει Alex. 174. ‖ ὅτι] εἴ τι Alex. l. l. ‖ 15. καὶ εἰ E, om. καὶ y ‖ ἡ ante τῆς ex solo E recepit Torst. ‖ 16. ἄνεισιν LUWX, πρόεισιν in interpret. Them. ‖ 17. ποιητέον] coni. θετέον vel δοτέον Torst., ποιητέον etiam Philop. Soph., δοτέον in interpret. Simpl. 188, 23. 31. ‖ 20. καὶ τὸ ὁρᾶν post τὸ τῇ ὄψει αἰσθάνεσθαι addenda esse censet Christ ‖ 25. αἱ om. SWX Them. Simpl. Soph. ‖ 27. οὐ τὸ αὐτὸ αὐταῖς E (Trend.) L Torst., οὐ ταὐτὸν αὐταῖς Bek. Trend., αὐταῖς οὐ ταὐτόν STUVWy Soph., αὐταῖς οὐ τὸ αὐτό Them. ‖ οἷον ὁ ψόφος ὁ ELW Soph. Torst., οἷον ψόφος ὁ reliqui ‖ 28. καὶ ἡ ἀκοὴ ἡ EL Soph. Torst., καὶ ἀκοὴ ἡ reliqui ‖ 30. τότε καὶ ἡ TW ‖ τότε ... 31. γίνεται om. E, sed in marg. add. (Zapf.) ‖ 426a, 1. ὧν] ὥστ' TW, ὥστε καὶ SUV, ὧν leg. etiam Soph. ‖ εἴποιεν EL, εἴποι y Soph., φήσειεν SUVX.

εἰ δή ἐστιν ἡ κίνησις καὶ ἡ ποίησις καὶ τὸ πάθος ἐν τῷ ποιουμένῳ, ἀνάγκη καὶ τὸν ψόφον καὶ τὴν ἀκοὴν τὴν κατ' ἐνέργειαν ἐν τῇ κατὰ δύναμιν εἶναι· ἡ γὰρ τοῦ ποιητικοῦ καὶ κινητικοῦ ἐνέργεια ἐν τῷ πάσχοντι ἐγγίνεται· διὸ οὐκ ἀνάγκη τὸ κινοῦν κινεῖσθαι. ὥσπερ γὰρ ἡ ποίησις καὶ ἡ πάθησις ἐν τῷ πάσχοντι ἀλλ' οὐκ ἐν τῷ ποιοῦντι, οὕτω καὶ ἡ τοῦ αἰσθητοῦ ἐνέργεια καὶ ἡ τοῦ αἰσθητικοῦ ἐν τῷ αἰσθητικῷ. ἡ μὲν οὖν τοῦ ψοφητικοῦ ἐνέργειά ἐστι ψόφος ἢ ψόφησις, ἡ δὲ τοῦ ἀκουστικοῦ ἀκοὴ ἢ ἄκουσις· διττὸν γὰρ ἡ ἀκοή, καὶ διττὸν ὁ ψόφος. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων αἰσθήσεων καὶ αἰσθητῶν. ἀλλ' ἐπ' ἐνίων μὲν ὠνόμασται, οἷον ἡ ψόφησις καὶ ἡ ἄκουσις, ἐπὶ δ' ἐνίων ἀνώνυμον θάτερον· ὅρασις γὰρ λέγεται ἡ τῆς ὄψεως ἐνέργεια, ἡ δὲ τοῦ χρώματος ἀνώνυμος, καὶ γεῦσις ἡ τοῦ γευστικοῦ, ἡ δὲ τοῦ χυμοῦ ἀνώνυμος. ἐπεὶ δὲ μία μέν ἐστιν ἡ ἐνέργεια ἡ τοῦ αἰσθητοῦ καὶ ἡ τοῦ αἰσθητικοῦ, τὸ δ' εἶναι ἕτερον, ἀνάγκη ἅμα φθείρεσθαι καὶ σώζεσθαι τὴν οὕτω λεγομένην ἀκοὴν καὶ ψόφον, καὶ χυμὸν δὴ καὶ γεῦσιν καὶ τὰ ἄλλα ὁμοίως· τὰ δὲ κατὰ δύναμιν λεγόμενα οὐκ ἀνάγκη· ἀλλ' οἱ πρότερον φυσιολόγοι τοῦτο οὐ καλῶς ἔλεγον, οὐθὲν οἰόμενοι οὔτε λευκὸν οὔτε μέλαν εἶναι ἄνευ ὄψεως, οὐδὲ χυμὸν ἄνευ γεύσεως. τῇ μὲν γὰρ ἔλεγον ὀρθῶς, τῇ δ' οὐκ ὀρθῶς· διχῶς γὰρ λεγομένης τῆς αἰσθήσεως καὶ τοῦ αἰσθη-

2. εἰ . . . 12. οἷον e duabus recensionibus contaminata iudicat Torst., prioris esse 6. ὥσπερ . . . . . 8. αἰσθητικῷ, posterioris 4. ἡ γὰρ . . . 6 κινεῖσθαι ‖ δ' ἔστιν W Bek. Trend., δή ἐστιν E (Trend.) et reliqui codd. Soph. Torst. ‖ 6. ὥσπερ . . . . 8. αἰσθητικῷ, quae vulgo leguntur post 11. αἰσθητῶν, transposui ‖ ὥσπερ γὰρ] καὶ ὥσπερ TWy, ὥσπερ γὰρ καὶ EL ‖ 7. ἀλλ'] καὶ LTW, ἀλλ' etiam Soph. ‖ 8. ἐνέργεια . . αἰσθητικοῦ om. TUWy, tuetur Philop. ‖ 9. ἐστὶν ante ἐνέργεια EL, post ψόφησις Ty, om. Soph. ‖ 12. μὲν καὶ ὠνόμ. rec. E (Trend.) TUWXy Philop., καὶ om. Soph. ‖ ἐπ' ἐνίων δ' L, ἐπ' ἐνίων δὲ Them. Soph. ‖ 16. ἡ ἐνέργεια E Soph. Torst., om. ἡ reliqui ‖ ἡ post ἐνέργ. om. TVWy Soph. ‖ ἡ post καὶ solus E, om. etiam Soph. ‖ 17. ἄρα φθ. STy, φθ. ἅμα L, ἅμα φθ. etiam Philop. Simpl. Soph. ‖ 20. πρότεροι UVW, πρότερον Them. Soph.

harmony in sensation. a ratio, mean.

a proportion of a quality with its opposite.

d'une manière générale. ie is not brought εἰς τὸν λόγον
ὅλον ἁπλῶς absolutely.

E. [illegible] as subject.

τοῦ, τῶν μὲν κατὰ δύναμιν τῶν δὲ κατ' ἐνέργειαν, ἐπὶ τούτων μὲν συμβαίνει τὸ λεχθέν, ἐπὶ δὲ τῶν ἑτέρων οὐ συμβαίνει. ἀλλ' ἐκεῖνοι ἁπλῶς ἔλεγον περὶ τῶν λεγομένων οὐχ ἁπλῶς.

εἰ δ' ἡ συμφωνία φωνή τίς ἐστιν, ἡ δὲ φωνὴ καὶ ἡ ἀκοὴ ἔστιν ὡς ἕν ἐστι, [καὶ ἔστιν ὡς οὐχ ἓν τὸ αὐτὸ] λόγος δ' ἡ συμφωνία, ἀνάγκη καὶ τὴν ἀκοὴν λόγον τινὰ εἶναι./καὶ διὰ τοῦτο καὶ φθείρει ἕκαστον ὑπερβάλλον, καὶ τὸ ὀξὺ καὶ τὸ βαρύ, τὴν ἀκοήν· ὁμοίως δὲ καὶ ἐν χυμοῖς τὴν γεῦσιν, καὶ ἐν χρώμασι τὴν ὄψιν τὸ σφόδρα λαμπρὸν ἢ ζο- 426b
φερόν, καὶ ἐν ὀσφρήσει ἡ ἰσχυρὰ ὀσμὴ καὶ γλυκεῖα καὶ πικρά, ὡς λόγου τινὸς ὄντος τῆς αἰσθήσεως./διὸ καὶ ἡδέα μέν, ὅταν εἰλικρινῆ καὶ ἀμιγῆ ὄντα ἄγηται εἰς τὸν λόγον, οἷον τὸ ὀξὺ ἢ γλυκὺ ἢ ἁλμυρόν, ἁφῇ δὲ τὸ θερμαντὸν ἢ ψυκτόν· ἡδέα γὰρ τότε· ὅλως δὲ μᾶλλον τὸ μικτὸν συμφωνία ἢ τὸ ὀξὺ ἢ τὸ βαρύ: ἡ δ' αἴσθησις ὁ λόγος· ὑπερβάλλοντα δὲ λυπεῖ ἢ φθείρει.

24. περὶ ESTV, ἐπὶ etiam Simpl. Soph. ‖ 27. δὴ E (Trend.) SXy Simpl. Plutarch. ap. Simpl., Philop. Trend., δὴ ἡ W, δ' ἡ reliqui codd. et Bek. Torst., εἰ δ' ἡ φωνὴ συμφωνία τίς ἐστιν mavult Trend., ac sane in interpret. habet ἡ δὲ φωνὴ συμφωνία τις Soph. ‖ 27. ἡ post καὶ om. LSTUVXy, videntur legisse Philop. et Soph. ‖ 28. ἐστι post ἓν solus E, om. etiam Philop. Soph. ‖ καὶ ἔστιν ... αὐτό unc. incl. Torst., leg. etiam Soph. ‖ τὸ αὐτὸ unc. inclusi, non legisse videtur Philop., ἢ οὐ τὸ αὐτὸ STXy, οὐδὲ τὸ αὐτὸ V, καὶ τὸ αὐτό coni. Susemihl l. l. ‖ 30. καὶ post τοῦτο om. LW, leg. Simpl. Soph. ‖ 31. ὁμοίως δὲ om. STUVWXy, leg. Soph. ‖ 426b, 1. ἢ τὸ ζ. STUVWXy, τὸ om. etiam Soph. ‖ 2. πικρά] λιπαρά EL et, ut videtur, Philop., πικρά etiam Soph. ‖ 3. διὸ om. SX et pr. U, διὸ καὶ om. V ‖ 4. ἀμιγῆ ὄντα] ἀμιγῆ E Bek. Trend., ἀμιγῆ ἢ ὄντα L, ἄμικτα ὄντα STVWXy et in paraphr. Simpl., ἀμιγῆ ὄντα U Soph. Torst. ‖ ἄγεται EL, ἄγηται post ὅταν STUVWXy ‖ 5. ἁφῇ .. ψυκτόν· quae vulgo leguntur post 6 βαρύ, transposui ‖ ἁφῇ y Philop. Trend., ἁφὴ E (Bhl.) reliqui codd. et Bek., ἁφῆς videtur legisse Soph., quod etiam Steinhart probat, ἐν τῇ ἁφῇ in interpret. Simpl., ἀλέα pro ἁφὴ coni. Madvig l. l. ‖ θερμαντικὸν et ψυκτικόν WX, vulgatam tuentur etiam Philop. Simpl. Soph. ‖ 6. συμφωνία ... ψυκτόν unc. incl. Torst., ἁφῇ ... ψυκτόν eici, sed συμφωνία .... βαρύ retineri et post μικτὸν comma poni vult Dittenberger l. l. p. 1614, totum locum interpretantur

ἑκάστη μὲν οὖν αἴσθησις τοῦ ὑποκειμένου αἰσθητοῦ ἐστίν, ὑπάρχουσα ἐν τῷ αἰσθητηρίῳ ᾗ αἰσθητήριον, καὶ κρίνει τὰς τοῦ ὑποκειμένου αἰσθητοῦ διαφοράς, οἷον λευκὸν μὲν καὶ μέλαν ὄψις, γλυκὺ δὲ καὶ πικρὸν γεῦσις. ὁμοίως δ' ἔχει τοῦτο καὶ ἐπὶ τῶν ἄλλων. ἐπεὶ δὲ καὶ τὸ λευκὸν καὶ τὸ γλυκὺ καὶ ἕκαστον τῶν αἰσθητῶν πρὸς ἕκαστον κρίνομεν, τίνι καὶ αἰσθανόμεθα ὅτι διαφέρει; ἀνάγκη δὴ αἰσθήσει· αἰσθητὰ γάρ ἐστιν. ᾗ καὶ δῆλον ὅτι ἡ σὰρξ οὐκ ἔστι τὸ ἔσχατον αἰσθητήριον· ἀνάγκη γὰρ ἦν ἁπτόμενον αὐτοῦ κρίνειν τὸ κρῖνον. οὔτε δὴ κεχωρισμένοις ἐνδέχεται κρίνειν ὅτι ἕτερον τὸ γλυκὺ τοῦ λευκοῦ, ἀλλὰ δεῖ ἑνί τινι ἄμφω δῆλα εἶναι. οὕτω μὲν γὰρ κἂν εἰ τοῦ μὲν ἐγὼ τοῦ δὲ σὺ αἴσθοιο, δῆλον ἂν εἴη ὅτι ἕτερα ἀλλήλων. δεῖ δὲ τὸ ἓν λέγειν ὅτι ἕτερον· ἕτερον γὰρ τὸ γλυκὺ τοῦ λευκοῦ. λέγει ἄρα τὸ αὐτό. ὥστε ὡς λέγει, οὕτω καὶ νοεῖ καὶ αἰσθάνεται. ὅτι μὲν οὖν οὐχ οἷόν τε κεχωρισμένοις κρίνειν τὰ κεχωρισμένα, δῆλον· ὅτι δ' οὐδ' ἐν κεχωρισμένῳ χρόνῳ, ἐντεῦθεν. ὥσπερ γὰρ τὸ αὐτὸ λέγει ὅτι ἕτερον τὸ ἀγαθὸν καὶ τὸ κακόν, οὕτω καὶ ὅτε θάτερον λέγει ὅτι ἕτερον καὶ θάτερον, οὐ κατὰ συμβεβηκὸς τὸ ὅτε· λέγω δ', οἷον νῦν λέγω ὅτι ἕτερον, οὐ μέντοι ὅτι νῦν ἕτερον· ἀλλ' οὕτω λέγει, καὶ νῦν, καὶ ὅτι νῦν· ἅμα ἄρα. ὥστε ἀχώριστον καὶ ἐν ἀχωρίστῳ χρόνῳ. ἀλλὰ μὴν ἀδύνατον ἅμα τὰς ἐναντίας κινήσεις κινεῖσθαι τὸ αὐτὸ ᾗ ἀδιαίρετον καὶ ἐν

Simpl. Philop. ‖ ἢ τὸ βαρύ E (Trend.), καὶ τὸ βαρύ L, καὶ βαρύ UVW, reliqui ἢ βαρύ ‖ 7. ὁ om. SUVy ‖ 12. καὶ post δὲ om. TUV Wy ‖ 14. τινὰ L, τινὶ Soph. Bek., τίνι sine dubio Them., Trend. Torst. ‖ 16. γὰρ ἂν ἦν W Torst., ἂν om. reliqui, etiam Philop. Soph. ‖ 19. γὰρ] ἔχει LV, γὰρ ἔχει E (Trend.), οὕτω μὲν γὰρ κἂν εἰ etiam Them. ‖ 20. verba δεῖ . . . 21. λευκοῦ post., 21. λέγει . . . 22. αἰσθάνεται pr. recensionis esse iudicat Torst. ‖ 21. λέγει ἄρα τὸ αὐτό ut inertem repetitionem eiecta vult Trend. ‖ 22. καὶ om. STV ‖ νοεῖ] φρονεῖ UX, καὶ νοεῖ etiam Philop. ‖ 24. ἐν] ενι E, οὐδ' ἑνὶ ἐν in textum recepit Torst., reliqui οὐδ' ἐν κεχ., etiam Soph. ‖ 25. τὸ ante κακόν om. ELy ‖ 30. διαίρετον pr. E (Trend. Bus.), ἀ addidit antiqua manus (Trend.).

) interrelation of sensations effected by the common sense

of the common sense
κ του αισθητου

Bradley's [illegible]
[illegible]

τῷ ὑποκειμένῳ μὲν, τῷ λόγῳ πολλά.

[illegible]

ἀδιαιρέτῳ χρόνῳ. εἰ γὰρ γλυκύ, ὡδὶ κινεῖ τὴν αἴσθησιν ἢ τὴν νόησιν, τὸ δὲ πικρὸν ἐναντίως, καὶ τὸ λευκὸν ἑτέρως. 427a ἆρ᾽ οὖν ἅμα μὲν καὶ ἀριθμῷ ἀδιαίρετον καὶ ἀχώριστον τὸ κρῖνον, τῷ εἶναι δὲ κεχωρισμένον; ἔστι δή πως ὡς τὸ διαιρετὸν τῶν διῃρημένων αἰσθάνεται, ἔστι δ᾽ ὡς ᾗ ἀδιαίρετον· τῷ εἶναι μὲν γὰρ διαιρετόν, τόπῳ δὲ καὶ ἀριθμῷ ἀδιαίρετον. ἢ οὐχ οἷόν τε; δυνάμει μὲν γὰρ τὸ αὐτὸ καὶ ἀδιαίρετον τἀναντία, τῷ δ᾽ εἶναι οὔ, ἀλλὰ τῷ ἐνεργεῖσθαι διαιρετόν, καὶ οὐχ οἷόν τε ἅμα λευκὸν καὶ μέλαν εἶναι, ὥστ᾽ οὐδὲ τὰ εἴδη πάσχειν αὐτῶν, εἰ τοιοῦτον ἡ αἴσθησις καὶ ἡ νόησις. ἀλλ᾽ ὥσπερ ἣν καλοῦσί τινες στιγμήν, ᾗ μία ἢ δύο, ταύτῃ καὶ διαιρετή. ᾗ μὲν οὖν ἀδιαίρετον, ἓν τὸ κρῖνόν ἐστι καὶ ἅμα,

31. τὸ γλυκύ TW et rec. E, Bek. Trend., τὸ om. pr. E et reliqui ‖ 427a, 1. ἢ] καὶ STW ‖ 2. ἆρ᾽ οὖν ... 3. κεχωρισμένον post., 3. ἔστι δὴ ...... 5. ἀδιαίρετον pr. editionis esse iudicat Torst., quod refellit Neuhaeuser l. l. 40. ‖ 2. ἀριθμῷ ἐν ἀδιαίρετον pr. E (Trend. Bus.), ἐν ἀριθμῷ ἀδιαίρετον rec. E (Trend. Bus.), ἀριθμῷ ἀδιαίρετον etiam Alex. 179. ‖ καὶ χρόνῳ ἀχώριστον Uy et rc. E in litura (Trend. Bus.) et, ut videtur, Philop., textum receptum tuetur Alex. l. l. et vet. transl. ‖ 3. δὴ] δὲ SU Alex. ‖ pro τὸ διαιρ. coni. ὂν διαιρ. Steinhart ‖ 4. ὡς om. TW, leg. Alex. ‖ ᾗ] τὸ X, om. Alex. ‖ διαιρετόν pr. E ‖ 5. καὶ χρόνῳ καὶ ἀριθμῷ U, καὶ χρόνῳ non habent Alex. Them. Simpl. Philop. ‖ οὐ διαιρετόν T, ἀδιαίρετον etiam Alex. Simpl. Philop. ‖ 6. καὶ ἀδιαίρετον] διαιρετὸν καὶ ἀδιαίρετον UWy Torst., καὶ διαιρετὸν καὶ ἀδιαίρετον Them., οὐ διαιρετὸν καὶ διῃρημένον T, ἀδιαίρετον καὶ διῃρημένον X, textum receptum tuetur Alex. 179, 18 et vet. transl., defendit Neuhaeuser l. l. p. 42. ‖ τἀναντία] καὶ τἀναντία EU, om. y et, ut videtur, Them., Torst., leg. τἀναντία (omisso καὶ) etiam Alex. Philop. et vet. transl., καὶ τοὐναντίον coni. Susemihl ‖ 10. ἢ μία ἢ δύο E, ἢ μία καὶ δύο L, ᾗ μία καὶ ᾗ δύο Bek., „aut unum aut duo" vet. transl. ‖ 11. καὶ om. L, καὶ ἀδιαίρετος καὶ διαιρετή, quod in interpret. habent Them. et Simpl., in textum recepit Torst., vulgatam tuetur Alex. l. l. et vet. transl. ‖ ᾗ μὲν .... 14. ἅμα e duab. rec. contam. iudicat Torst., post. 11. ᾗ μὲν .... 13. ἅμα, pr. 13. ᾗ μὲν .... 14. ἅμα ‖ 11. ἀδιαίρετος E, sed ς in litura (Trend.) et STU Alex. ‖ καὶ ἅμα om. y.

ᾗ δὲ διαιρετόν, οὐχ ἓν ὑπάρχει· δὶς γὰρ τῷ αὐτῷ χρῆται σημείῳ ἅμα· ᾗ μὲν οὖν δυσὶ χρῆται τῷ πέρατι, δύο κρίνει καὶ κεχωρισμένα ἐστὶν ὡς κεχωρισμένῳ· ᾗ δ' ἑνί, καὶ ἅμα. περὶ μὲν οὖν τῆς ἀρχῆς ᾗ φαμὲν τὸ ζῷον αἰσθητικὸν εἶναι, διωρίσθω τὸν τρόπον τοῦτον.

Ἐπεὶ δὲ δύο διαφοραῖς ὁρίζονται μάλιστα τὴν ψυχήν, 3
κινήσει τε τῇ κατὰ τόπον καὶ τῷ νοεῖν καὶ τῷ κρίνειν καὶ αἰσθάνεσθαι, δοκεῖ δὲ καὶ τὸ νοεῖν καὶ τὸ φρονεῖν ὥσπερ αἰσθάνεσθαί τι εἶναι (ἐν ἀμφοτέροις γὰρ τούτοις κρίνει τι ἡ ψυχὴ καὶ γνωρίζει τῶν ὄντων), καὶ οἵ γε ἀρχαῖοι τὸ φρονεῖν καὶ τὸ αἰσθάνεσθαι ταὐτὸν εἶναί φασιν, ὥσπερ καὶ Ἐμπεδοκλῆς εἴρηκε "πρὸς παρεὸν γὰρ μῆτις ἀέξεται ἀνθρώποισιν" καὶ ἐν ἄλλοις "ὅθεν σφίσιν αἰεὶ καὶ τὸ φρονεῖν

12. διαιρετὸν ὑπάρχει οὐχ ἓν Ald. Sylb. Basil. Torst., οὐχ ἓν ὑπάρχει E_2 (Bhl.) Ty Soph., „non unum" vet. transl., οὐχ ἓν om. reliqui codd. et Alex. l. l. Bek. Trend., quibus assentitur Neuhaeuser l. l. 45 ‖ δὶς γὰρ τῷ E_2TW vet. transl. Ald. Sylb. Basil. Torst., διὸ γὰρ τῷ y et, omisso γάρ, Soph., γὰρ om. reliqui codd. et Alex. Bek. Trend. ‖ 13. ὡς δυσὶ coni. Trend. et Torst. ‖ virgulam a Bek. post χρῆται positam sustulerunt Trend. Torst. ‖ 14. κεχωρισμένῳ, ita ELT Torst. Belger., reliqui codd. aut κεχωρισμένων aut κεχωρισμένα, τῷ κεχωρισμένῳ Alex. ‖ ᾗ δὲ ἕν, ἑνὶ TWy Alex. Simpl. vet. transl. Bek. Trend. Torst.. ἑνὶ om. U, ᾗ δὲ ἑνὶ ἅμα omisso καὶ etiam Soph., fort. ῃ δὲ ἑνί, ἓν Christ ‖ 15. αἰσθητικὸν εἶναι τὸ ζῷον STU ‖ ὁρίσθω E, διωρίσθω E_2 Soph. ‖ 18. καὶ τὸ κρίνειν καὶ νοεῖν W, καὶ τῷ νοεῖν καὶ φρονεῖν SUV, leg. verbum κρίνειν etiam Philop. et Simpl., sed quo loco, incertum est, τῷ κρίνειν καὶ νοεῖν Torst., vulgatam tuetur etiam Soph. ‖ 19. annotat in margine Bas.: post αἰσθάνεσθαι deesse videntur, quae Argyropylus reddidit his verbis: considerandum est, si quid intersit inter intelligere ac sentire. cui opinioni assentitur Torst., negat excidisse quicquam Bon., stud. Arist. II, III, 131. qui cum Plutarcho, Philopono, Simplicio apodosin, quam iam Alex. apud Philop. desideraverat, ab 427b, 6. ὅτι μὲν οὖν incipit; in interpungendis singulis membris secutus sum Bon. ‖ 19. καὶ post δὲ om. LT ‖ 20. γὰρ] τε γαρ ESU, τε om. etiam Soph. ‖ κρίνει τε ἡ ψυχὴ T, ἡ ψυχὴ κρίνει τι SUVWy, ἡ ψυχὴ κρίνει τε X, vulgatam tuetur etiam Soph. ‖ 21. γε corr. E, τε SUV ‖ 23. ἐναέξεται E_1, nunc αὔξεται (Bhl.), ἀέξεται etiam Them. Philop. Soph.

ει τo κρινον

3. Sensation & Reason

Sensation different fr reason. Imagination between them

en raison de l'état actuel du corps.

[illegible] ..

on the sensualist principle the percipient will be affected in opposite ways at once

.b.: is time of knowl. is time of error ?

sense of kp.

ἀλλοῖα παρίσταται", τὸ δ' αὐτὸ τούτοις βούλεται καὶ τὸ Ὁμήρου "τοῖος γὰρ νόος ἐστίν", πάντες γὰρ οὗτοι τὸ νοεῖν σωματικὸν ὥσπερ τὸ αἰσθάνεσθαι ὑπολαμβάνουσιν, καὶ αἰσθάνεσθαί τε καὶ φρονεῖν τῷ ὁμοίῳ τὸ ὅμοιον, ὥσπερ καὶ ἐν τοῖς κατ' ἀρχὰς λόγοις διωρίσαμεν· καίτοι ἔδει ἅμα καὶ περὶ τοῦ ἠπατῆσθαι αὐτοὺς λέγειν, οἰκειότερον γὰρ τοῖς ζῴοις, 427 b καὶ πλείω χρόνον ἐν τούτῳ διατελεῖ ἡ ψυχή· διὸ ἀνάγκη ἤτοι, ὥσπερ ἔνιοι λέγουσι, πάντα τὰ φαινόμενα εἶναι ἀληθῆ, ἢ τὴν τοῦ ἀνομοίου θίξιν ἀπάτην εἶναι, τοῦτο γὰρ ἐναντίον τῷ τὸ ὅμοιον τῷ ὁμοίῳ γνωρίζειν· δοκεῖ δὲ καὶ ἡ ἀπάτη καὶ ἡ ἐπιστήμη τῶν ἐναντίων ἡ αὐτὴ εἶναι· ὅτι μὲν οὖν οὐ ταὐτόν ἐστι τὸ αἰσθάνεσθαι καὶ τὸ φρονεῖν, φανερόν. τοῦ μὲν γὰρ πᾶσι μέτεστι, τοῦ δὲ ὀλίγοις τῶν ζῴων. ἀλλ' οὐδὲ τὸ νοεῖν, ἐν ᾧ ἐστὶ τὸ ὀρθῶς καὶ τὸ μὴ ὀρθῶς, τὸ μὲν ὀρθῶς φρόνησις καὶ ἐπιστήμη καὶ δόξα ἀληθής, τὸ δὲ μὴ ὀρθῶς τἀναντία τούτων, οὐδὲ τοῦτο [δ'] ἐστὶ ταὐτὸ τῷ αἰθάνεσθαι· ἡ μὲν γὰρ αἴσθησις τῶν ἰδίων ἀεὶ ἀληθής, καὶ πᾶσιν ὑπάρχει τοῖς ζῴοις, διανοεῖσθαι δ' ἐνδέχεται καὶ ψευδῶς, καὶ οὐδενὶ ὑπάρχει ᾧ μὴ καὶ λόγος· φαντασία γὰρ ἕτερον καὶ αἰσθήσεως καὶ διανοίας· αὐτή τε οὐ γίγνεται ἄνευ αἰσθήσεως, καὶ ἄνευ ταύτης οὐκ ἔστιν ὑπόληψις. ὅτι δ' οὐκ ἔστιν ἡ αὐτὴ φαντασία καὶ ὑπόληψις, φανερόν. τοῦτο μὲν γὰρ τὸ

25. βούλεται τούτοις STUVWy, τὸ αὐτὸ τοῦτο sed post ο rasura E_2 (Bhl.) ‖ 27. ὥσπερ καὶ τὸ SUV ‖ 427 b, 2. τούτοις STVy, τούτῳ etiam Simpl. Soph. ‖ 4. τῷ] τὸ S, ᾧ L, om. TU ‖ 5. τὸ ὅμοιον τῷ ὁμοίῳ STUVXy et E (Trend. Bhl.), τῷ ὁμ. τὸ ὅμ. TW ‖ 6. ταὐτόν] τὸ αὐτό pr. E (Trend.) ‖ 9. μὲν γὰρ ὀρθῶς TUWy et rec. E, om. γὰρ etiam Soph. ‖ 11. δ' om. y Philop., δ' delendum esse censet etiam Vahlen, Oest. Gymn. Ztschr. 1868 p. 256 ‖ ταὐτὸν L Philop., τὸ αὐτὸ STUVWX ‖ 14. φαντασία γὰρ .... 24. θαρραλέα ab hoc loco aliena esse iudicat Freudenthal l. l. p. 11, cui assentitur Susemihl, ᾧ μὴ καὶ φαντασία· ἕτερον γὰρ (sc. ἡ φαντ.) καὶ κτλ. coni. Steinhart ‖ 15. δὲ pro τε coni. Susemihl l. l. ‖ 17. ἡ ante αὐτὴ delendum esse censet Schneider, Rhein. Mus. 1866 p. 448 ‖ φαντασία margo U, quod probat Susemihl, om. y, quod probat Madvig l. l., reliqui codd νόησις, etiam Simpl. Philop.

πάθος ἐφ' ἡμῖν ἐστίν, ὅταν βουλώμεθα (πρὸ ὀμμάτων γάρ ἔστι τι ποιήσασθαι, ὥσπερ οἱ ἐν τοῖς μνημονικοῖς τιθέμενοι καὶ εἰδωλοποιοῦντες), δοξάζειν δ' οὐκ ἐφ' ἡμῖν· ἀνάγκη γὰρ ἢ ψεύδεσθαι ἢ ἀληθεύειν. ἔτι δὲ ὅταν μὲν δοξάσωμεν δεινόν τι ἢ φοβερόν, εὐθὺς συμπάσχομεν, ὁμοίως δὲ κἂν θαρραλέον· κατὰ δὲ τὴν φαντασίαν ὡσαύτως ἔχομεν ὥσπερ ἂν εἰ θεώμενοι ἐν γραφῇ τὰ δεινὰ ἢ θαρραλέα. εἰσὶ δὲ καὶ αὐτῆς τῆς ὑπολήψεως διαφοραί, ἐπιστήμη καὶ δόξα καὶ φρόνησις καὶ τἀναντία τούτων, περὶ ὧν τῆς διαφορᾶς ἕτερος ἔστω λόγος.

περὶ δὲ τοῦ νοεῖν, ἐπεὶ ἕτερον τοῦ αἰσθάνεσθαι, τούτου δὲ τὸ μὲν φαντασία δοκεῖ εἶναι τὸ δὲ ὑπόληψις, περὶ φαντασίας διορίσαντας οὕτω περὶ θατέρου λεκτέον.
428a εἰ δή ἐστιν ἡ φαντασία καθ' ἣν λέγομεν φάντασμά τι ἡμῖν γίγνεσθαι καὶ μὴ εἴ τι κατὰ μεταφορὰν λέγομεν, μία τίς ἐστι τούτων δύναμις ἢ ἕξις, καθ' ἣν κρίνομεν καὶ ἀληθεύομεν ἢ ψευδόμεθα. τοιαῦται δ' εἰσὶν αἴσθησις, δόξα, ἐπιστήμη, νοῦς. ὅτι μὲν οὖν οὐκ ἔστιν αἴσθησις, δῆλον ἐκ τῶνδε. αἴσθησις μὲν γὰρ ἤτοι δύναμις ἢ ἐνέργεια, οἷον ὄψις καὶ ὅρασις, φαίνεται δέ τι καὶ μηδετέρου ὑπάρχοντος τού-

19. *ἔστι τι* E, om. U, *ἔστι τι* etiam Soph., *τι* om. reliqui omnes ‖ 20. *ἢ* om. STUWXy, leg. Soph. ‖ 21. *δοξάζωμεν* LSUW, *δοξάσωμεν* etiam Philop. Soph. ‖ 22. *κἂν*] *καὶ ἐὰν* Ty, *κἂν ᾖ* L, *καὶ ἐὰν ᾖ* SUVWX Soph., *κἂν* etiam Them. ‖ 23. *εἰ*] *οἱ* TW Bek. Trend. Torst., *ὥσπερ ἂν εἰ* etiam Simpl. 221, 3, Soph. 118, 32, *ὥσπερ θεώμενοι πάσχομεν* in paraphr. Them., „sicut si essemus considerantes“ vet. transl. ‖ 24. *ἢ* E Simpl. 221, 4 et Soph. reliqui codd. *καὶ* ‖ 26. *τὰ ἐναντία* SUVWX ‖ *ἔσται* X ‖ 27. *τοῦ αἰσθ.* E, sed nunc *υ* eras. (Zapf.), *τοῦ* etiam Simpl. 221, 6 ‖ 428a, 1. *ἡ* om. W et pr. E, leg. Soph. ‖ 2. *γενέσθαι* STVX, *ἐγγίνεσθαι* Wy Them. 165, 3 ‖ 3. negatio aut certe dubitatio in hac apodosi desideratur, Trend. ‖ *καθ' ἃς* coni. Torst., *καθ' ἣν* etiam Philop. Soph. ‖ *καὶ*] *ἢ* ESUWX, *καὶ* etiam Soph. ‖ 4. *ἢ*] *καὶ* ESTUW, *ἢ* etiam Soph. ‖ *τοιαῦτα* SVy, *ταῦτα* LWX, *τοιαῦται* etiam Them. Philop. ‖ 5. *νοῦς ἐπιστήμη* STUWX Philop., *ἐπιστήμη νοῦς* etiam Them. Simpl. Soph. ‖ *οὖν* om. SUX, leg. Them. Soph. ‖ 6. *μὲν* om. y, leg. Soph. ‖ 7. *τούτων ὑπάρχοντος* STUVWX Soph.

πάθος . ἔργον . πρᾶξις .

sc. τέχνη .

Imagination : <u>not</u> reason , judgment , sensation , opinion

ie (words) of any of the faculties . R . but cp R p 412 de Mem.

at least potentially.

κατα συμπτώμα ετι γε μαλλον ειδησαν μαλλον ειναι κεινησιν. Concomitant variations.

των, οἷον τὰ ἐν τοῖς ὕπνοις. εἶτα αἴσθησις μὲν ἀεὶ πάρεστι, φαντασία δ' οὔ. εἰ δὲ τῇ ἐνεργείᾳ τὸ αὐτό, πᾶσιν ἂν ἐνδέχοιτο τοῖς θηρίοις φαντασίαν ὑπάρχειν· δοκεῖ δ' οὔ, οἷον μύρμηκι ἢ μελίττῃ ἢ σκώληκι. εἶτα αἱ μὲν ἀληθεῖς αἰεί, αἱ δὲ φαντασίαι γίνονται αἱ πλείους ψευδεῖς. ἔπειτ' οὐδὲ λέγομεν, ὅταν ἐνεργῶμεν ἀκριβῶς περὶ τὸ αἰσθητόν, ὅτι φαίνεται τοῦτο ἡμῖν ἄνθρωπος· ἀλλὰ μᾶλλον ὅταν μὴ ἐναργῶς αἰσθανώμεθα [τότε ἢ ἀληθὴς ἢ ψευδής]. καὶ ὅπερ δὲ ἐλέγομεν πρότερον, φαίνεται καὶ μύουσιν ὁράματα. ἀλλὰ μὴν οὐδὲ τῶν ἀεὶ ἀληθευόντων οὐδεμία ἔσται, οἷον ἐπιστήμη ἢ νοῦς· ἔστι γὰρ φαντασία καὶ ψευδής. λείπεται ἄρα ἰδεῖν εἰ δόξα· γίνεται γὰρ δόξα καὶ ἀληθὴς καὶ ψευδής. ἀλλὰ δόξῃ μὲν ἕπεται πίστις (οὐκ ἐνδέχεται γὰρ δοξάζοντα οἷς δοκεῖ μὴ πιστεύειν), τῶν δὲ θηρίων οὐθενὶ ὑπάρχει πίστις,

8. legendum proponit Torst., Jahrb. f. Phil. 1867, p. 246: *αἴσθησις μὲν ἀεὶ ⟨τοῦ⟩ παρόντος ἐστί, φαντασία δ' οὔ*, quod improbat Freudenthal, qui pro *ἀεὶ* legi vult *πᾶσι* et *ὑπάρχει* pro *πάρεστι* l. l. 12. et Rhein. Mus. 1869, p. 400., *αἴσθησις μὲν ἡ δυνάμει ἀεὶ πάρεστι* coni. Christ ‖ 11 Torst., Them. et Soph. secutus, scripsit: *οἷον μύρμηκι μὲν ἢ μελίττῃ, σκώληκι δ' οὔ.*, quod etiam Belger in altera ed. Trend. recepit, ac profecto Them. ita legisse videtur, quamquam suspicionem movet vocabulum *ἴσως*, quod addidit 165, 23; et Soph. alieno loco, p. 55, 27, haec verba habet: *μύρμηξι καὶ μελίτταις καὶ τοῖς ὁμοίοις ..... ἀνάγκη παρεῖναι φαντασίαν .., σκώληκι δὲ καὶ μυῖαι ... ἢ οὐ δοκοῦσιν ὅλως ἔχειν ἢ ἀμυδράν τινα*, similiter Philop. ad 413b, 22. et ad 414b, 33., hoc vero loco diserte vulgatam lectionem agnoscit et interpretatur, quare neque ex Philop. neque ex Soph. lectio a Torst. recepta confirmari potest; vulgatam tuentur praeter omnes codd. etiam Simpl. hoc loco et p. 308, 19. et vet. transl.; cf. ad hunc locum 434a, 4. ‖ 12. *ἔπειτ'*] *ἔτι* T et corr. E, *ἔπειτα* leg. etiam Soph. ‖ 14. *ἐνεργῶς* E, *ἐναργῶς* etiam Them. Soph. ‖ 15. *ἢ*] om. pr. E, *καὶ* U, *καὶ ἢ* Ty, *καὶ ἡ* SV ‖ *ἢ*] *καὶ ἡ* SV, *τότε ἢ ἀλ. ἢ ψ.* unc. inclusi cum Torst., quod probat etiam Madvig l. l., leg. Soph. et vet. transl. ‖ *δὴ* STUVXy Soph. ‖ 19. *ἀλλὰ* .... 24. *δ' οὔ* e duab. ed. contam. iudicat Torst., cui assentitur Freudenthal, Rhein. Mus. 1869 p. 405, pr. 22. *ἔτι πάσῃ* .... 24. *δ' οὔ*, post 19. *ἀλλὰ* ..... 22. *πολλοῖς* ‖ 21. *δοκεῖ*] *δοξάζει* LUW Philop., *δοκεῖ* etiam Them. Soph.

φαντασία δ' ἐν πολλοῖς. [ἔτι πάσῃ μὲν δόξῃ ἀκολουθεῖ πίστις, πίστει δὲ τὸ πεπεῖσθαι, πειθοῖ δὲ λόγος· τῶν δὲ θηρίων ἐνίοις φαντασία μὲν ὑπάρχει, λόγος δ' οὔ.] φανερὸν τοίνυν ὅτι οὐδὲ δόξα μετ' αἰσθήσεως, οὐδὲ δι' αἰσθήσεως, οὐδὲ συμπλοκὴ δόξης καὶ αἰσθήσεως φαντασία ἂν εἴη, διά τε ταῦτα καὶ δῆλον ὅτι οὐκ ἄλλου τινός ἐστιν ἡ δόξα, ἀλλ' ἐκείνου ἐστὶν οὗ καὶ ἡ αἴσθησις· λέγω δ', ἐκ τῆς τοῦ λευκοῦ δόξης καὶ αἰσθήσεως ἡ συμπλοκὴ φαντασία ἐστίν· οὐ γὰρ δὴ ἐκ τῆς δόξης μὲν τῆς τοῦ ἀγαθοῦ, αἰσθήσεως δὲ τῆς τοῦ λευκοῦ· τὸ οὖν φαίνεσθαί ἐστι τὸ δοξάζειν ὅπερ αἰσθάνεται μὴ κατὰ συμβεβηκός. φαίνεται δὲ καὶ ψευδῆ, περὶ ὧν ἅμα ὑπόληψιν ἀληθῆ ἔχει, οἷον φαίνεται μὲν ὁ ἥλιος ποδιαῖος, πεπίστευται δ' εἶναι μείζω τῆς οἰκουμένης· συμβαίνει οὖν ἤτοι ἀποβεβληκέναι τὴν ἑαυτοῦ ἀληθῆ δόξαν, ἣν εἶχε, σωζομένου τοῦ πράγματος, μὴ ἐπιλαθόμενον μηδὲ μεταπεισθέντα, ἢ εἰ ἔτι ἔχει, ἀνάγκη τὴν αὐτὴν ἀληθῆ εἶναι καὶ ψευδῆ. ἀλλὰ ψευδὴς ἐγίνετο, ὅτε λάθοι μεταπεσὸν τὸ πρᾶγμα. οὔτ' ἄρα ἕν τι τούτων ἐστὶν οὔτ' ἐκ τούτων ἡ φαντασία.

22. δ ἐν EL, δὲ ἐν Soph., ἐν om. reliqui || verba ἔτι . . . 24. δ' οὐ unc. inclusi || πάσῃ] εἰ πάσῃ SXy, εἰ insert. E_2 (Bhl.) || 26. ἡ φαντ. coni. Torst. || διά τε ταῦτα . . . 28. αἴσθησις ante 24. φανερὸν poni vult G. Schneider, Rhein. Mus. 1866, p. 449 || 27. ἄλλη τις STVW, ἄλλης y, ἄλλου etiam Them. Simpl. Soph. || ἡ om. SVX || 28. ἐκείνη ST, ἐκείνης y || ἐστὶν] ἧπερ ἐστὶν S, ἧσπερ ἐστιν y, εἴπερ ἐστίν TW Torst., vulgatam tuetur vet. transl. || οὗ καὶ ἡ] οὗ καὶ EL Bek. Trend., καὶ ἡ y, οὗπερ ἐστι καὶ ἡ UV || ἐκ] εἰ V Trend., ὅτε ἐκ y, vulgatam tuetur vet. transl. || 29. ἡ συμπλοκὴ unc. incl. Torst. || 428b, 1. ἔσται coni. Trend., scripsit Torst., cui assentitur G. Schneider l. l., ἐστι etiam Philop. et vet. transl. || 2. δὲ] δέ γε STUVWXy, fort. recte || 3. ἔχειν ES || ποδιος pr. E || 4. πέπεισται STUX Torst., πιστεύεται L || μείζων LUWX Bek. Trend. || 5. αὐτοῦ EL || ἀληθῆ post εἶχεν SUWX || 6 ἐπιλανθανόμενον LTUVWX || 7. τὴν αὐτὴν om. pr. E., ante ἀνάγκη ponunt LWy || 8. ἐγίνετο E sed in litura (Trend.) et LSUVXy Torst., ἐγένετο reliqui || ἀλλὰ . . . 9. πρᾶγμα Torst. suspecta sunt, leg. etiam Philop. || 9. οὐκ ἄρα ELTWy.

<u>Plato</u>. Sophist.

dans la théorie contestée.

ε ἔστα.

Ae, 5 opinion ? [illegible] T.

no heat ?

[illegible]

positive def. of imagination.

= φαντασία in respect of truth & error

ἀλλ' ἐπειδή ἐστι κινηθέντος τουδὶ κινεῖσθαι ἕτερον ὑπὸ τούτου, ἡ δὲ φαντασία κίνησίς τις δοκεῖ εἶναι καὶ οὐκ ἄνευ αἰσθήσεως γίγνεσθαι ἀλλ' αἰσθανομένοις καὶ ὧν αἴσθησίς ἐστιν, ἔστι δὲ γίνεσθαι κίνησιν ὑπὸ τῆς ἐνεργείας τῆς αἰσθήσεως, καὶ ταύτην ὁμοίαν ἀνάγκη εἶναι τῇ αἰσθήσει, εἴη ἂν αὕτη ἡ κίνησις οὔτε ἄνευ αἰσθήσεως ἐνδεχομένη οὔτε μὴ αἰσθανομένοις ὑπάρχειν, καὶ πολλὰ κατ' αὐτὴν καὶ ποιεῖν καὶ πάσχειν τὸ ἔχον, καὶ εἶναι καὶ ἀληθῆ καὶ ψευδῆ. τοῦτο δὲ συμβαίνει διὰ τάδε. ἡ αἴσθησις τῶν μὲν ἰδίων ἀληθής ἐστιν ἢ ὅτι ὀλίγιστον ἔχουσα τὸ ψεῦδος. δεύτερον δὲ τοῦ συμβεβηκέναι ταῦτα· καὶ ἐνταῦθα ἤδη ἐνδέχεται διαψεύδεσθαι· ὅτι μὲν γὰρ λευκόν, οὐ ψεύδεται, εἰ δὲ τοῦτο τὸ λευκὸν ἢ ἄλλο τι, ψεύδεται. τρίτον δὲ τῶν κοινῶν καὶ ἑπομένων τοῖς συμβεβηκόσιν, οἷς ὑπάρχει τὰ ἴδια· λέγω δ' οἷον κίνησις καὶ μέγεθος, [ἃ συμβέβηκε τοῖς αἰσθητοῖς,] περὶ ἃ μάλιστα ἤδη ἔστιν ἀπατηθῆναι κατὰ τὴν αἴσθησιν. ἡ δὲ κίνησις ἡ ὑπὸ τῆς ἐνεργείας γινομένη διοίσει [τῆς αἰσθήσεως]

10. τοῦδε SUVy ‖ 11. ad verba ἡ δὲ ... 12. αἴσθησίς ἐστιν annotat Torst.: vereor ne, etsi sunt Aristotelis, in posteriore edit. non fuerint scripta, leg. etiam Simpl. Philop. ‖ 12. αἰσθήσεις εἰσίν TUVW et omisso verbo S, αἴσθησις etiam Philop. Simpl. Soph. ‖ 15. αὐτῆς E ‖ 16. ὑπάρχει E. ‖ κατὰ ταύτην EL, κατ' αὐτὴν etiam Them. Simpl. Soph., καθ' αὐτὴν Philop. ‖ καὶ om. TUXy tuentur etiam Them. Soph. ‖ 19. τῷ συμβεβηκέναι ταῦτα E (recte Bus., sed τῶ sine ι adscript.), τοῦ συμβεβηκότος X, τοῦ ᾧ συμβέβηκε καὶ ταῦτα Ald. Sylb. Basil. et vet. transl., Them. interpretatur: δεύτερον δὲ τῶν ὑποκειμένων τοῖς ἰδίοις καὶ οἷς ἐκεῖνα συμβέβηκε, ex Simpl. et Philop. interpr. colligere debemus, eos legisse aut τοῦ συμβεβηκότος aut τοῦ ὃ συμβέβηκε τούτοις, quod scriptum esse ab Arist. coni. Torst., pro ταῦτα coni. τούτῳ Steinhart ‖ 20. διαψεύσασθαι E, διαψεύδεσθαι etiam Them. ‖ 21. τὸ om. ESVX, leg. Philop. ‖ 22. τι et 24. ἃ ante συμβ. om. STUVWX ‖ 23. Simpl. et Philop. videntur legisse καὶ τὰ ἴδια. ‖ 24. ἃ ... αἰσθητοῖς unc. inclusi cum Torst. ‖ 25. δὲ] δὴ TU, δ' ἡ W ‖ 26. τῆς αἰσθήσεως unc. inclusi cum Torst., fort. transponendum est post ἐνεργείας, τῶν αἰσθήσεων T.

ἡ ἀπὸ τούτων τῶν τριῶν αἰσθήσεων. καὶ ἡ μὲν πρώτη παρούσης τῆς αἰσθήσεως ἀληθής, αἱ δ' ἕτεραι καὶ παρούσης καὶ ἀπούσης εἶεν ἂν ψευδεῖς, καὶ μάλιστα ὅταν πόρρω τὸ αἰσθητὸν ᾖ. εἰ οὖν μηθὲν μὲν ἄλλο ἔχοι ἢ τὰ εἰρημένα ἡ φαν- 429a τασία, τοῦτο δ' ἐστι τὸ λεχθέν, ἡ φαντασία ἂν εἴη κίνησις ὑπὸ τῆς αἰσθήσεως τῆς κατ' ἐνέργειαν γιγνομένη. ἐπεὶ δ' ἡ ὄψις μάλιστα αἴσθησίς ἐστι, καὶ τὸ ὄνομα ἀπὸ τοῦ φάους εἴληφεν, ὅτι ἄνευ φωτὸς οὐκ ἔστιν ἰδεῖν. καὶ διὰ τὸ ἐμμένειν καὶ ὁμοίας εἶναι ταῖς αἰσθήσεσι, πολλὰ κατ' αὐτὰς πράττει τὰ ζῷα, τὰ μὲν διὰ τὸ μὴ ἔχειν νοῦν, οἷον τὰ θηρία, τὰ δὲ διὰ τὸ ἐπικαλύπτεσθαι τὸν νοῦν ἐνίοτε πάθει ἢ νόσοις ἢ ὕπνῳ, οἷον οἱ ἄνθρωποι. περὶ μὲν οὖν φαντασίας, τί ἐστι καὶ διὰ τί ἐστιν, εἰρήσθω ἐπὶ τοσοῦτον.

περὶ δὲ τοῦ μορίου τοῦ τῆς ψυχῆς ᾧ γινώσκει τε ἡ 4 ψυχὴ καὶ φρονεῖ, εἴτε χωριστοῦ ὄντος εἴτε καὶ μὴ χωριστοῦ κατὰ μέγεθος ἀλλὰ κατὰ λόγον, σκεπτέον τίν' ἔχει διαφοράν, καὶ πῶς ποτὲ γίνεται τὸ νοεῖν. εἰ δή ἐστι τὸ νοεῖν ὥσπερ τὸ αἰσθάνεσθαι, ἢ πάσχειν τι ἂν εἴη ὑπὸ τοῦ νοητοῦ ἢ

27. ἡ .... αἰσθήσεων om. SUVW, leg. etiam Philop., pro ἡ sine ullo cod. scripserunt τῆς Bek. et Trend., ᾗ coni. Christ ‖ 29. αἰσθητήριον TUVWX ‖ 30. μὲν om. STUVWX Philop. ‖ ἔχοι ἢ E, ἔχοι Ly, ἔχει omisso ἢ reliqui omnes ‖ ἡ] solus E, ἢ LSTUVXy, ἢ ἡ W, „si igitur nihil aliud habet ea quae dicta sunt quam phantasia“ vet. transl., ἢ μὴ Bek. Trend. secuti edit. Sylburgianam, ἢ ἡ φαντασία unc. incl. Torst. ‖ φαντασίαν S Bek. Trend.; scriptum fuisse ab Arist.: εἰ οὖν μηθὲν μὲν ἄλλο ἔχει τὰ εἰρημένα, τοῦτο δ' ἔχει, ἡ φαντασία ἂν εἴη κίνησις coni. Torst. ‖ 429a, 1. vulgo δ' ἐστί. ‖ ταὐτὸ δ' ἐστὶ sive ταὐτὸ δ' ἔχει coni. Christ ‖ 2. γιγνομένη pr. E (Trend.), Ly Them. Philop. Simpl. vet. transl. Trend. Torst., quod etiam probat Zeller l. l. 445, γιγνομένης reliqui ‖ 3. ἐστι om. STUVWX ‖ 5. ὁμοίας E, sed ας in rasura (Bhl.) TUX Them. Simpl. vet transl. Torst., ὁμοίως reliqui ‖ κατὰ ταύτας ELy, κατ' αὐτὰς etiam Them. Simpl. ‖ πράττειν E ‖ 7. νόσῳ TUV, νόσοις etiam Them. Simpl. 221, 12 ‖ 9. διότι E, διὸ τί Soph. ‖ 10. τοῦ ante τῆς om. LSTUWX Philop., τοῦ τῆς ψυχ. μορίου y, leg. τοῦ Them. ‖ 11. καὶ post εἴτε om. E (Bus.) et Simpl. ‖ 14. τι] ὅτι EL, τι leg. Philop. Soph. Simpl., hoc

temporal.

final cause ἵνα πολλὰ ποιῇ τι καὶ πράξῃ.

4. Reason.

Relation to sense. Unmixed with body.

theoretic & practical.

πρᾶξιν

τὸ ἐκτιῶν εἶδος.

τι τοιοῦτον ἕτερον. ἀπαθὲς ἄρα δεῖ εἶναι, δεκτικὸν δὲ τοῦ εἴδους καὶ δυνάμει τοιοῦτον ἀλλὰ μὴ τοῦτο, καὶ ὁμοίως ἔχειν, ὥσπερ τὸ αἰσθητικὸν πρὸς τὰ αἰσθητά, οὕτω τὸν νοῦν πρὸς τὰ νοητά. ἀνάγκη ἄρα, ἐπεὶ πάντα νοεῖ, ἀμιγῆ εἶναι, ὥσπερ φησὶν Ἀναξαγόρας, ἵνα κρατῇ, τοῦτο δ' ἐστὶν ἵνα γνωρίζῃ· παρεμφαινόμενον γὰρ κωλύει τὸ ἀλλότριον καὶ ἀντιφράττει· ὥστε μηδ' αὐτοῦ εἶναι φύσιν μηδεμίαν ἀλλ' ἢ ταύτην, ὅτι δυνατόν. ὁ ἄρα καλούμενος τῆς ψυχῆς νοῦς (λέγω δὲ νοῦν ᾧ διανοεῖται καὶ ὑπολαμβάνει ἡ ψυχή) οὐθέν ἐστιν ἐνεργείᾳ τῶν ὄντων πρὶν νοεῖν. διὸ οὐδὲ μεμῖχθαι εὔλογον αὐτὸν τῷ σώματι· ποιός τις γὰρ ἂν γίγνοιτο, ἢ ψυχρὸς ἢ θερμός, ἢ κἂν ὄργανόν τι εἴη, ὥσπερ τῷ αἰσθητικῷ· νῦν δ' οὐθέν ἐστιν. καὶ εὖ δὴ οἱ λέγοντες τὴν ψυχὴν εἶναι τόπον εἰδῶν, πλὴν ὅτι οὔτε ὅλη ἀλλ' ἡ νοητική, οὔτε ἐντελεχείᾳ ἀλλὰ δυνάμει τὰ εἴδη. ὅτι δ' οὐχ ὁμοία ἡ ἀπάθεια τοῦ αἰσθητικοῦ καὶ τοῦ νοητικοῦ, φανερὸν ἐπὶ τῶν αἰσθητηρίων καὶ τῆς αἰσθήσεως. ἡ μὲν γὰρ αἴσθησις οὐ δύναται αἰσθάνεσθαι ἐκ τοῦ σφόδρα αἰσθητοῦ, οἷον ψόφου ἐκ τῶν μεγάλων 429 b
ψόφων, οὐδ' ἐκ τῶν ἰσχυρῶν χρωμάτων καὶ ὀσμῶν οὔτε ὁρᾶν οὔτε ὀσμᾶσθαι· ἀλλ' ὁ νοῦς ὅταν τι νοήσῃ σφόδρα νοητόν, οὐχ ἧττον νοεῖ τὰ ὑποδεέστερα, ἀλλὰ καὶ μᾶλλον· τὸ

loco et p. 264, 17. ‖ 15. ἄρα tuentur omnes codd. et Them. Simpl. Philop. ‖ 18. ἀνάγκη .... 27. οὐθέν ἐστιν e duab. rec. contam. iudicat Torst., pr. 22. ὁ ἄρα .... 27. ἐστιν, post. 18. ἀνάγκη ... 22. δυνατόν, quod negant Noetel, Ztschr. f. Gymn. 1864 p. 140 et Dittenberger, Götting. gelehrte Anzeigen 1863 p. 1610 ‖ 18. ἐπειδὴ SUVWXy Them. ‖ 20. ἀντιφράζει SVX, ἀντιφράξει UWy, ἀντιφράττει leg. etiam Soph. ‖ 25. γὰρ ἄν τις LSTUVWX, ποῖος (lege ποιός) τις ἂν γίγνοιτο Soph. ‖ ἢ ψ. ἢ θ. E, θ. ἢ ψ. STUVWX Philop. ἢ θ. ἢ ψ. y, ψυχρὸς ἢ θερμός Soph. ‖ 26. ἢ κἂν] καὶ κἂν S, κἂν TW Soph., καὶ UVX ‖ 429b, 1. οἷον τοῦ ψ. STVXy, οἷον ἐκ τοῦ ψ. E, ἐκ τοῦ ψόφου τοῦ μεγάλου τῶν μικρῶν ψόφων Them. 193, 11. ‖ ἐκ om. E, οἷον ψόφου ἐκ τῶν μεγ. ψ. etiam Soph. ‖ 4. verba ἀλλὰ καὶ μᾶλλον interpolata esse censet Torst., Jahrb. f. Phil. 1867 p. 246, leg. etiam Them.

μὲν γὰρ αἰσθητικὸν οὐκ ἄνευ σώματος, ὁ δὲ χωριστός. ὅταν δ' οὕτως ἕκαστα γένηται ὡς ὁ ἐπιστήμων λέγεται ὁ κατ' ἐνέργειαν (τοῦτο δὲ συμβαίνει, ὅταν δύνηται ἐνεργεῖν δι' αὑτοῦ), ἔστι μὲν καὶ τότε δυνάμει πως, οὐ μὴν ὁμοίως καὶ πρὶν μαθεῖν ἢ εὑρεῖν· καὶ αὐτὸς δὲ αὑτὸν τότε δύναται νοεῖν. ἐπεὶ δ' ἄλλο ἐστὶ τὸ μέγεθος καὶ τὸ μεγέθει εἶναι καὶ ὕδωρ καὶ ὕδατι εἶναι (οὕτω δὲ καὶ ἐφ' ἑτέρων πολλῶν, ἀλλ' οὐκ ἐπὶ πάντων· ἐπ' ἐνίων γὰρ ταὐτόν ἐστι), τὸ σαρκὶ εἶναι καὶ σάρκα καὶ ἢ ἄλλῳ ἢ ἄλλως ἔχοντι κρίνει· ἡ γὰρ σὰρξ οὐκ ἄνευ τῆς ὕλης, ἀλλ' ὥσπερ τὸ σιμόν, τόδε ἐν τῷδε. τῷ μὲν οὖν αἰσθητικῷ τὸ θερμὸν καὶ τὸ ψυχρὸν κρίνει, καὶ ὧν λόγος τις ἡ σάρξ· ἄλλῳ δὲ ἤτοι χωριστῷ ἢ ὡς ἡ κεκλασμένη ἔχει πρὸς αὑτὴν ὅταν ἐκταθῇ, τὸ σαρκὶ εἶναι κρίνει. πάλιν δ' ἐπὶ τῶν ἐν ἀφαιρέσει ὄντων τὸ εὐθὺ ὡς τὸ σιμόν· μετὰ συνεχοῦς γάρ· τὸ δὲ τί ἦν εἶναι, εἰ ἔστιν ἕτερον τὸ εὐθεῖ εἶναι καὶ τὸ εὐθύ, ἄλλο· ἔστω γὰρ δυάς. ἑτέρῳ ἄρα ἢ ἑτέρως ἔχοντι κρίνει. καὶ ὅλως ἄρα ὡς χωριστὰ τὰ

5. ὁ δὲ νοῦς χωρ. y et in interpret. Soph., om. νοῦς etiam Them. 193. ‖ 6. ὁ post ὡς om. SW Bek. Trend. ‖ ὁ ante κατ' om. SUVWX ‖ 8. μὲν] μὲν οὖν LW Them. ‖ καὶ τότε E m. pr. y Them. Philop. Torst., ὁμοίως καὶ τότε reliqui ‖ ὁμοίως om. SUX, leg. Them. Simpl. ‖ 11. καὶ τὸ ὕδατι E, sed τὸ expunct. (Zapf.), τὸ om. reliqui omnes ‖ οὕτω δὲ . . . 12. ταὐτόν ἐστι in parenth. Bon. stud. Arist. IV 376 ‖ οὕτω δὲ om. LT, leg. Them. ‖ 12. ταὐτό E (Trend.) ‖ colon post ἐστι omissum ponit post 13. σάρκα Bek., corr. Trend., iam Them. hunc locum recte interpretatus est ‖ 13. καὶ ἢ ἄλλῳ recepi ex E et y (qui ἢ omisit), καὶ om. reliqui omnes ‖ ἔχοντι om. LSUV, leg. Them. Simpl. Philop. Soph. et insert. E_2 ‖ κρίνει ὁ νοῦς L et E sed ὁ νοῦς exp. (Bhl.) ‖ 14. virgulam post σιμόν a Bek. Trend. omissam ponunt Torst. Bon. ‖ 15. αἰσθητῷ pro αἰσθητικῷ legi vult Brentano l. l. 134 ‖ τὸ ante ψυχρ. om. EL ‖ 16. ὁ λόγος E, ὁ om. etiam Simpl. Philop. ‖ 17. αὐτὴν y et E (Trend.) ‖ εἶναι καὶ κρίνει LS, καὶ om. etiam Simpl. ‖ 20. ἄλλο TVX et Bon. l. l., reliqui ἄλλῳ, quod defendere studet Torst., Jahrb. f. Phil. 1867 p. 245 ‖ 21. καὶ om. LSTUVX et, ut videtur, Philop. ‖ ἄρα om. pr. E, leg. etiam Philop.

the ἕξις R.

.. ὁ ἐχωρισμένος ὁ νοῦς.

reason – matter & form ?

l'homme. l'âme.
?

the energy is the maker of it.

The essence. interval of two points.

les choses en tant qu'objets de connaissance
passive nous R 446 +
l'agent et le patient doivent faire partie du même genre.

Aristotle : which is not the case
1. Dans un sens général que l'intellect pâtit .. passage de la puissance à l'acte. ἐν ἔργῳ
2. nous avons distingué la passion qui s'exerce grâce à une communauté ..

au non-écrit de la tablette.

= νοητός ἐστι.

5. Active & Passive Reason. Immortality

τὰ ἐν ἐκείνῳ τῷ γένει

πράγματα τῆς ὕλης, οὕτω καὶ τὰ περὶ τὸν νοῦν. ἀπορήσειε δ' ἄν τις, εἰ ὁ νοῦς ἁπλοῦν ἐστι καὶ ἀπαθὲς καὶ μηθενὶ μηθὲν ἔχει κοινόν, ὥσπερ φησὶν Ἀναξαγόρας, πῶς νοήσει, εἰ τὸ νοεῖν πάσχειν τί ἐστιν. ᾗ γάρ τι κοινὸν ἀμφοῖν ὑπάρχει, τὸ μὲν ποιεῖν δοκεῖ τὸ δὲ πάσχειν. ἔτι δ' εἰ νοητὸς καὶ αὐτός. ἢ γὰρ τοῖς ἄλλοις νοῦς ὑπάρξει, εἰ μὴ κατ' ἄλλο αὐτὸς νοητός, ἓν δέ τι τὸ νοητὸν εἴδει, ἢ μεμιγμένον τι ἕξει, ὃ ποιεῖ νοητὸν αὐτὸν ὥσπερ τἆλλα. ἢ τὸ μὲν πάσχειν κατὰ κοινόν τι διῄρηται πρότερον, ὅτι δυνάμει πώς ἐστι τὰ νοητὰ ὁ νοῦς, ἀλλ' ἐντελεχείᾳ οὐδέν, πρὶν ἂν νοῇ. δεῖ δ' οὕτως ὥσπερ ἐν γραμματείῳ ᾧ μηθὲν ὑπάρχει ἐντελεχείᾳ γεγραμμένον· ὅπερ συμβαίνει ἐπὶ τοῦ νοῦ. καὶ αὐτὸς δὲ νοητός ἐστιν ὥσπερ τὰ νοητά. ἐπὶ μὲν γὰρ τῶν ἄνευ ὕλης τὸ αὐτό ἐστι τὸ νοοῦν καὶ τὸ νοούμενον· ἡ γὰρ ἐπιστήμη ἡ θεωρητικὴ καὶ τὸ οὕτως ἐπιστητὸν τὸ αὐτό ἐστιν. τοῦ δὲ μὴ ἀεὶ νοεῖν τὸ αἴτιον ἐπισκεπτέον. ἐν δὲ τοῖς ἔχουσιν ὕλην δυνάμει ἕκαστόν ἐστι τῶν νοητῶν. ὥστ' ἐκείνοις μὲν οὐχ ὑπάρξει νοῦς (ἄνευ γὰρ ὕλης δύναμις ὁ νοῦς τῶν τοιούτων), ἐκείνῳ δὲ τὸ νοητὸν ὑπάρξει.

5 Ἐπεὶ δ' ὥσπερ ἐν ἁπάσῃ τῇ φύσει ἐστί τι τὸ μὲν ὕλη ἑκάστῳ γένει (τοῦτο δὲ ὃ πάντα δυνάμει ἐκεῖνα), ἕτερον δὲ

23. ἀπαθής pr. E (Bus.), verba καὶ ἀπαθὲς delenda esse censet Hayduck, progr. Gryphisv. 1873 p. 4, pro ἀπαθὲς coni. ἀμιγὲς Zeller l. l. p. 568 ‖ 24. ἔχων SUV ‖ νοήσειεν TVX ‖ 26. δ' om. pr. E ‖ 27. ὁ νοῦς STUWX Philop. Bek. Trend. Torst. ‖ 29. de his verbis ἢ .... 31. νοῇ vide Torst., cui mutila et corrupta videntur; tuetur etiam Simpl., defendit Brentano l. l. 137 ‖ 31. ἂν] ἂν μὴ LVW et inter versus UX, ἂν insert. E_2, πρὶν νοεῖν Simpl., πρὶν ἂν νοῇ etiam Them. ‖ post οὕτως excidisse ὑπολαβεῖν coni. Torst. ‖ 430 a, 1. ᾧ om. ESUVXy et vet. transl. ‖ ὑπάρχειν SUVX ‖ καταγεγραμμένον L et E, sed κατα expunct. (Bhl.), γεγραμ. etiam Them. ‖ 4. ἡ ante θε. om. E, leg. Them. Simpl. ‖ 6. μόνον ἕκαστον y Ald. Sylb. ‖ 8. δύναμίς ἐστιν ὁ LSUVWX ‖ 10. πάσῃ Ty, ἁπάσῃ etiam Philop. Them. 189, 25 ‖ 11. ὃ] ὅτι UVX, om. y, ὃ etiam Soph. ‖ ἐκεῖνο E, ο in α mutat. E_2 (Bhl.), ἐκεῖνα etiam Philop. Soph.

τὸ αἴτιον καὶ ποιητικόν, τῷ ποιεῖν πάντα, οἷον ἡ τέχνη πρὸς τὴν ὕλην πέπονθεν, ἀνάγκη καὶ ἐν τῇ ψυχῇ ὑπάρχειν ταύτας τὰς διαφοράς. καὶ ἔστιν ὁ μὲν τοιοῦτος νοῦς τῷ πάντα γίνεσθαι, ὁ δὲ τῷ πάντα ποιεῖν, ὡς ἕξις τις, οἷον τὸ φῶς· τρόπον γάρ τινα καὶ τὸ φῶς ποιεῖ τὰ δυνάμει ὄντα χρώματα ἐνεργείᾳ χρώματα. καὶ οὗτος ὁ νοῦς χωριστὸς καὶ ἀπαθὴς καὶ ἀμιγής, τῇ οὐσίᾳ ὢν ἐνέργεια. ἀεὶ γὰρ τιμιώτερον τὸ ποιοῦν τοῦ πάσχοντος καὶ ἡ ἀρχὴ τῆς ὕλης. τὸ δ' αὐτό ἐστιν ἡ κατ' ἐνέργειαν ἐπιστήμη τῷ πράγματι· ἡ δὲ κατὰ δύναμιν χρόνῳ προτέρα ἐν τῷ ἑνί, ὅλως δὲ οὐ χρόνῳ· ἀλλ' οὐχ ὁτὲ μὲν νοεῖ ὁτὲ δ' οὐ νοεῖ. χωρισθεὶς δ' ἐστὶ μόνον τοῦθ' ὅπερ ἐστί, καὶ τοῦτο μόνον ἀθάνατον καὶ ἀΐδιον. οὐ μνημονεύομεν δέ, ὅτι τοῦτο μὲν ἀπαθές, ὁ δὲ παθητικὸς νοῦς φθαρτός, καὶ ἄνευ τούτου οὐθὲν νοεῖ.

Ἡ μὲν οὖν τῶν ἀδιαιρέτων νόησις ἐν τούτοις, περὶ ἃ οὐκ 6
ἔστι τὸ ψεῦδος. ἐν οἷς δὲ καὶ τὸ ψεῦδος καὶ τὸ ἀληθές, σύνθεσίς τις ἤδη νοημάτων ὥσπερ ἓν ὄντων, καθάπερ Ἐμπεδο-

12. καὶ τὸ π. LW ‖ τῷ] ὁ τῷ LTX ‖ 17. οὗτος] οὐχ ὡς S ‖ 18. ἀμιγὴς καὶ ἀπαθὴς STUVWXy Philop., ἀπαθ. καὶ ἀμιγὴς E Them. Simpl. ‖ ἐνέργεια ex Simpl. restituit Torst., ἐνεργείᾳ omnes codd., etiam Them. 195, 13. Philop. Soph. ‖ 19. τὸ δ' αὐτό EL, etiam Soph., αὐτὸ δ' reliqui codd. ‖ 21. οὐδὲ] οὐ E Philop. Bek. Trend., οὐδὲ Soph. Torst. ‖ 22. οὐχ om. Wy Simpl. 245, 34. et 263, 8. Soph. Torst. Susemihl, Phil. Anz. 1873, p. 690, οὐχ leg. Them. 187, 7. et 184, 3. Philop. et ap. Philop. Alex. Plotinus Marinus vet. transl., retineri malunt etiam Zeller l. l. p. 571 Brentano l. l. 182 et Schlottmann, das Vergängliche und Unvergängliche in der Seele nach Arist. p. 43 ‖ 24. μνημονεύομεν . . . 431 b, 16. ἐκεῖνα desunt E, folio exciso inter folia 200 et 201 ‖ 25. νῦν ante ἄνευ inseri vult Susemihl, Phil. Wochenschr. 1882 p. 1284 ‖ 27. καὶ om. L ‖ ψεῦδος ἤδη καὶ STUVWXy et, ut videtur, Them. ‖ 27. ἐν οἷς δὲ . . . b, 5. ἔσται e duab. ed. contam., pr. b, 1. τὸ . . . 5. ἔσται, post. a, 27. ἐν οἷς . . . b, 1. προσεννοῶν, quod refellit Vahlen, Jahrb. d. Akademie der Wiss., Wien 1872, p. 419 et Noetel, Zeitschr. f. Gymn. 1864. p. 131.

Tis emphatic. i.e. ενεργεια.

cause of motion

[illegible]

[illegible]
the v. κινητικος by itself.
του κιν. R. + νου absolutely ? of the individual

6. Error. Synthesis.

[illegible]

ic whether we call it synthesis or diaeresis.

κλῆς ἔφη "ᾗ πολλῶν μὲν κόρσαι ἀναύχενες ἐβλάστησαν," ἔπειτα συντίθεσθαι τῇ φιλίᾳ, οὕτω καὶ ταῦτα κεχωρισμένα συντίθεται, οἷον τὸ ἀσύμμετρον καὶ ἡ διάμετρος· ἂν δὲ γενομένων ἢ ἐσομένων, τὸν χρόνον προσεννοῶν καὶ συντιθείς. τὸ γὰρ ψεῦδος ἐν συνθέσει ἀεί· καὶ γὰρ ἂν τὸ λευκὸν μὴ λευκόν, ⟨καὶ⟩ τὸ μὴ λευκὸν ⟨λευκόν⟩, συνέθηκεν. ἐνδέχεται δὲ καὶ διαίρεσιν φάναι πάντα. ἀλλ' οὖν ἔστι γε οὐ μόνον τὸ ψεῦδος ἢ ἀληθές, ὅτι λευκὸς Κλέων ἐστίν, ἀλλὰ καὶ ὅτι ἦν ἢ ἔσται. τὸ δὲ ἓν ποιοῦν, τοῦτο ὁ νοῦς ἕκαστον. τὸ δ' ἀδιαίρετον ἐπεὶ διχῶς, ἢ δυνάμει ἢ ἐνεργείᾳ, οὐθὲν κωλύει νοεῖν τὸ ἀδιαίρετον, ὅταν νοῇ τὸ μῆκος (ἀδιαίρετον γὰρ ἐνεργείᾳ), καὶ ἐν χρόνῳ ἀδιαιρέτῳ· ὁμοίως γὰρ ὁ χρόνος διαιρετὸς καὶ ἀδιαίρετος τῷ μήκει. οὔκουν ἔστιν εἰπεῖν ἐν τῷ ἡμίσει τί ἐννοεῖ ἑκατέρῳ·

30. φιλίᾳ, οὕτω Vahlen l. l., φιλίᾳ. οὕτω Bek. Trend. Torst. || 31. συντίθεσθαι STVWy || post διάμετρος addunt ἢ τὸ σύμμετρον καὶ ἡ διάμετρος W Simpl. Torst., quod additamentum reicit Vahlen l. l., om. etiam vet. transl. || γιγνομένων VWX Bek. Trend., γενομένων etiam Them. Simpl. Torst. Vahlen Steinhart || 430b, 1. πρὸς ἓν νοῶν LX, προσεννοῶν etiam Simpl. et sine dubio Them. || καὶ συντιθείς unc. incl. Torst., leg. Simpl. Philop. Soph. et defendit Vahlen l. l. || 3. τὸ (καὶ τὸ solus T) μὴ λευκὸν συνέθηκεν omnes codd., τὸ μὴ λευκὸν unc. incl. Trend. in prima edit., cui assentitur Dittenberger l. l. p. 1615, in altera edit. scripsit Belger de coniectura Roeperi, Philologus VII, p. 324: τὸ μὴ λευκὸν λευκὸν συν., quod legisse videtur Philop. et iam Torst. coniecerat, καὶ λευκὸν τὸ μὴ λευκόν, συνέθηκεν coni. Vahlen l. l. 428 „si album non albo aut si non album albo componit" vet. transl. || 4. pro πάντα coni. ταῦτα vel τοιαῦτα Torst., leg. πάντα etiam Them., ἄμφω in interpr. Philop., πάντα defendit Vahlen l. l. 431 || γε eici vult Torst., def. Vahlen l. l. 432 || verba οὐ μόνον post ἀληθές transponi vult Torst., cui adversatur Vahlen l. l. 433. || 5. δὴ UX || 7. τὸ ἀδ.] τὸ διαιρετὸν ἢ ἀδιαίρετον coni. Torst., potest tale quid legisse Philop. || ὅταν] οἷον ὅταν coni. Torst. || 8. ἀδ. . . . . ἐνεργείᾳ in parenth. Torst. || 9. ὁμοίως . . . . . . 20. μήκει e duab. rec. contam. iudicat Torst., pr. 17. ἔνεστι . . . . 20. μήκει, post. 9. ὁμοίως . . . 10. μήκει, quod negant Noetel et Dittenberger || 9. καὶ ἀδ.] καὶ οὐ διαιρετός T, om. X et pr. W, καὶ ἀδιαίρετος etiam Them. Simpl. Philop. || 10. ἐνόει L Torst., ἐνόεις y,

οὐ γάρ ἐστιν, ἂν μὴ διαιρεθῇ, ἀλλ' ἢ δυνάμει. χωρὶς δ' ἑκάτερον νοῶν τῶν ἡμίσεων διαιρεῖ καὶ τὸν χρόνον ἅμα· τότε δ' οἱονεὶ μήκη. εἰ δ' ὡς ἐξ ἀμφοῖν, καὶ ἐν τῷ χρόνῳ τῷ ἐπ' ἀμφοῖν. τὸ δὲ μὴ κατὰ ποσὸν ἀδιαίρετον ἀλλὰ τῷ εἴδει νοεῖ ἐν ἀδιαιρέτῳ χρόνῳ καὶ ἀδιαιρέτῳ τῆς ψυχῆς· κατὰ συμβεβηκὸς δέ, καὶ οὐχ ᾗ ἐκεῖνα, διαιρετὰ ᾧ νοεῖ καὶ ἐν ᾧ χρόνῳ [ἀλλ' ᾗ ἀδιαίρετα]· ἔνεστι γὰρ κἀν τούτοις τι ἀδιαίρετον, ἀλλ' ἴσως οὐ χωριστόν, ὃ ποιεῖ ἕνα τὸν χρόνον καὶ τὸ μῆκος. καὶ τοῦθ' ὁμοίως ἐν ἅπαντί ἐστι τῷ συνεχεῖ καὶ χρόνῳ καὶ μήκει. ἡ δὲ στιγμὴ καὶ πᾶσα διαίρεσις, καὶ τὸ οὕτως ἀδιαίρετον, δηλοῦται ὥσπερ ἡ στέρησις. καὶ ὅμοιος ὁ λόγος ἐπὶ τῶν ἄλλων, οἷον πῶς τὸ κακὸν γνωρίζει ἢ τὸ μέλαν· τῷ ἐναντίῳ γάρ πως γνωρίζει. δεῖ δὲ δυνάμει εἶναι τὸ γνωρίζον καὶ ἓν εἶναι αὐτῷ. εἰ δέ τινι μή ἐστιν ἐναντίον τῶν αἰτίων, αὐτὸ ἑαυτὸ γινώσκει καὶ ἐνεργείᾳ ἐστὶ καὶ χωριστόν. ἔστι δ' ἡ μὲν φάσις τι κατά τινος, ὥσπερ ἡ κατάφασις, καὶ ἀληθὴς ἢ ψευδὴς πᾶσα· ὁ δὲ νοῦς οὐ πᾶς, ἀλλ' ὁ τοῦ τί ἐστι κατὰ τὸ τί ἦν εἶναι ἀληθής, καὶ οὐ τὶ

ἐννοεῖν TUW, tempus praesens etiam Them., Simpl. ‖ 12. *τῶν ἡμίσεων* ante *νοῶν* SU, om. TX ‖ 14. *κατὰ τὸ ποσὸν* TX ‖ 15. *ψυχῆς νοήσει κατὰ* TW, *νοήσει* etiam legisse videtur Them., *νοεῖ* leg. Simpl. ‖ 16. virgulam post *διαιρετὰ* Bek., Trend., corr. Torst. ‖ *ἀδιαιρέτῳ τῆς ψυχῆς, κατὰ συμβεβηκὸς δὲ καὶ οὐχ ᾗ ἐκεῖνα ἀδιαίρετα, ᾧ νοεῖ καὶ* coni. Christ ‖ *ᾧ*] *ᾧ τε* coni. Torst., *τε* om. Simpl. ‖ 17. *ἀλλ' ᾗ ἀδ.* unc. incl. Torst., leg. quidem Simpl., totam hanc enunciationem a Torst. sanatam esse agnoscit etiam Hayduck, progr. Gryph. 1873 p. 5 ‖ 21. *καὶ ὅμοιος* .... 23. *μέλαν* delenda esse censet Hayduck l. l. p. 6 ‖ 24. *γνωρίζειν* V ‖ *ἓν εἶναι* LTVWX vet. transl., *ἐνεῖναι* SUy Simpl., Philop. Bek. Trend. Brentano l. l. p. 115, *καὶ μὴ ἓν εἶναι αὐτῶν* coni. Torst. ‖ *ἐν* ante *αὐτῷ* om. solus W, leg. etiam Simpl. ‖ 25. *αἰτίων*] *ἐναντίων* S, *αἰτίων* etiam Them. Philop. Simpl., vel *ἐναντίων* vel *ὄντων* coni. Torst., *τῶν αἰτίων* delenda esse censet Zeller l. l. 578. ‖ *ἐνέργεια* fort. Them. Simpl. ‖ 26. *ἔστι δ' ἡ μὲν κατάφασίς τι κατά τινος, ὥσπερ καὶ ἡ ἀπόφασις* coni. Torst., vulgatam tuetur etiam Simpl. ‖ *ὥσπερ καὶ ἡ* W Torst., *καὶ* non leg. Simpl.

two lengths . plural emphatic .

[illegible]

comme les continus – les indivisibles en acte . ἢ ἀδιαίρετα . κατὰ συμβ. car on peut penser plus ou moins
l'acte par lequel on pense | toujours pas la même forme .
ὁ χρόνος καὶ μῆκος .
Platonic ideas .

l'intellect qui n'a pas [illegible]
[illegible]

le potentiel avec l'intellect qui [illegible] ons .
? forme essentielle .

position .

secundum , in the sense of .

7. Practical Reason.

Reason as desiring or avoiding. representative images.

puissance du second degré
τὸ αἰσθητικόν

φάναι poser une notion indivisible sans la mettre en rapport.

τὸ αἰσθητόν.

en tant qu'ils se confondent avec l'agréable et le désagréable.

τὸ φανταστόν.

Ellipse d'une phrase analogue à b2: τὰ εἴδη τὸ νοητικὸν ἐν τοῖς φαντάσμασι νοεῖ . . .

κατά τινος· ἀλλ' ὥσπερ τὸ ὁρᾶν τοῦ ἰδίου ἀληθές, εἰ δ' ἄνθρωπος τὸ λευκὸν ἢ μή, οὐκ ἀληθὲς ἀεί, οὕτως ἔχει ὅσα ἄνευ ὕλης.

7 Τὸ δ' αὐτό ἐστιν ἡ κατ' ἐνέργειαν ἐπιστήμη τῷ πράγματι. ἡ δὲ κατὰ δύναμιν χρόνῳ προτέρα ἐν τῷ ἑνί, ὅλως δὲ οὐδὲ χρόνῳ· ἔστι γὰρ ἐξ ἐντελεχείᾳ ὄντος πάντα τὰ γιγνόμενα. φαίνεται δὲ τὸ μὲν αἰσθητὸν ἐκ δυνάμει ὄντος τοῦ αἰσθητικοῦ ἐνεργείᾳ ποιοῦν· οὐ γὰρ πάσχει οὐδ' ἀλλοιοῦται. διὸ ἄλλο εἶδος τοῦτο κινήσεως· ἡ γὰρ κίνησις τοῦ ἀτελοῦς ἐνέργεια ἦν, ἡ δ' ἁπλῶς ἐνέργεια ἑτέρα ἡ τοῦ τετελεσμένου. τὸ μὲν οὖν αἰσθάνεσθαι ὅμοιον τῷ φάναι μόνον καὶ νοεῖν· ὅταν δὲ ἡδὺ ἢ λυπηρόν, οἷον καταφᾶσα ἢ ἀποφᾶσα, διώκει ἢ φεύγει· καὶ ἔστι τὸ ἥδεσθαι καὶ λυπεῖσθαι τὸ ἐνεργεῖν τῇ αἰσθητικῇ μεσότητι πρὸς τὸ ἀγαθὸν ἢ κακόν, ᾗ τοιαῦτα. καὶ ἡ φυγὴ δὲ καὶ ἡ ὄρεξις ταὐτὸ ἡ κατ' ἐνέργειαν, καὶ οὐχ ἕτερον τὸ ὀρεκτικὸν καὶ φευκτικόν, οὔτ' ἀλλήλων οὔτε τοῦ αἰσθητικοῦ· ἀλλὰ τὸ εἶναι ἄλλο. τῇ δὲ διανοητικῇ ψυχῇ τὰ φαντάσματα οἷον αἰσθήματα ὑπάρχει. ὅταν δὲ ἀγαθὸν ἢ κακὸν φήσῃ ἢ ἀποφήσῃ, φεύγει ἢ διώκει. διὸ οὐδέποτε

431a, 1. τὸ δ' αὐτὸ .... 7. τετελεσμένου alieno loco posita esse iudicat Torst., cui assentitur Zeller p. 571, leg. veteres interpretes, nisi quod τὸ δ' αὐτὸ ..... 3. γιγνόμενα praeterit Them., in quibus etiam Alex. ap. Philop. offendit ‖ 1. τὸ αὐτὸ δ' TUVXy ‖ 2. τινὰ τῶν βιβλίων ἔχουσιν ὅλως, τινὰ δὲ ἁπλῶς annotat Philop. ‖ 6. εἶδος om. SX, post τοῦτο TUVy Them. 52, 21, post κινήσεως W, vulgatam tuetur Simpl. ‖ 7. ἦν om. LSUVX Them. 52, 22. et Simpl. ‖ ἡ post ἑτέρα om. L, leg. Them. 52, 21 ‖ post τετελεσμένου lacunam esse iudicat Susemihl, Burs. Jahresb. IX, 351 ‖ 10. ἢ λυπ. TUVW Simpl. ‖ 11. ᾗ τοιοῦτο L, om. X, ᾗ τοιαῦτα etiam Philop., ἢ τὰ τοιαῦτα Simpl. ‖ 12. δὴ SUW X, om. TV ‖ ταυτὸν T, τὸ αὐτὸ LV, τοῦτο reliqui et Bek. Trend. Torst., qui conicit τὸ αὐτὸ τοῦτο, veteres interp. quomodo legerint, incertum est; scripsi ταὐτὸ ‖ ἡ om. V aut delendum aut ᾗ scribendum censet Trend. ‖ 13. καὶ τὸ φ. L et interpret. Them. Simpl. ‖ 15. ὅταν .... 16. διώκει post 17. ψυχή ponenda esse iudicat Susemihl ‖ 16. φήσῃ ἢ ἀποφήσῃ solus L, uncis incl. Torst.,

νοεῖ ἄνευ φαντάσματος ἡ ψυχή. ὥσπερ δὲ ὁ ἀὴρ τὴν κόρην τοιανδὶ ἐποίησεν, αὕτη δ' ἕτερον, καὶ ἡ ἀκοὴ ὡσαύτως, τὸ δὲ ἔσχατον ἕν, καὶ μία μεσότης, τὸ δ' εἶναι αὐτῇ πλείω... τίνι δ' ἐπικρίνει τί διαφέρει γλυκὺ καὶ θερμόν, εἴρηται μὲν καὶ πρότερον, λεκτέον δὲ καὶ ὧδε. ἔστι γὰρ ἕν τι, οὕτω δὲ καὶ ὡς ὅρος. καὶ ταῦτα ἓν τῷ ἀνάλογον καὶ τῷ ἀριθμῷ ὄν, ἔχει πρὸς ἑκάτερον, ὡς ἐκεῖνα πρὸς ἄλληλα· τί γὰρ διαφέρει τὸ ἀπορεῖν πῶς τὰ μὴ ὁμογενῆ κρίνει ἢ τὰ ἐναντία, οἷον λευκὸν καὶ μέλαν· ἔστω δὴ ὡς τὸ *Α* τὸ λευκὸν πρὸς τὸ *Β* τὸ μέλαν, τὸ *Γ* πρὸς τὸ *Δ* [ὡς ἐκεῖνα

καταφήσῃ ἢ ἀποφήσῃ y, φησὶ ἢ ἀπόφησι TX, κατάφησιν ἢ ἀπόφησι U, ἔστι κατάφησιν ἢ ἀπόφησιν V, ἔστι καταφήσειν ἢ ἀποφήσειν corr. S, κατάφασις ἢ ἀπόφασις W et, ut videtur, Philop. ‖ καὶ φεύγει STUVWX, ἢ φεύγει y ‖ 17. totum hunc locum ab ὥσπερ.... b, 1. λευκόν a re proposita alienum esse iudicat Torst., non interpretatur Them., recte explicat Neuhaeuser, l. l. p. 51 sqq. ‖ 18. αὐτὴ UVWy Bek. Trend., αὕτη etiam Simpl. Soph. Torst. ‖ 19. αὐτῇ om. SUVX ‖ 20. post πλείω signum enunciati non absoluti cum Torst. posui, etiam Simpl. et Philop. hoc loco desiderant apodosin, putant autem eam ex praecedentibus supplendam esse; verba 17. ὥσπερ ... 20. πλείω post 21. ἕν τι transponenda et apodosin sic conformandam esse: οὕτω δὴ καὶ ταῦτα (omissis verbis καὶ ὡς ὅρος) censet Freudenthal, Rhein. Mus. 1869, p. 398, cui assentitur Susemihl, Burs. Jahresb. 17. p. 264 et Phil. Wochenschr. 1882, p. 1283 ‖ 21. ὧδε] νῦν TWy et in interpret. Simpl. Philop. ‖ 22. καὶ ὡς] καὶ ὁ Xy, ἡ στιγμὴ καὶ ὁ T, om. cum ipso ὅρος LV, in interpret. ὥσπερ καὶ ὁ ὅρος Simpl., ὥσπερ ὅρος Philop., qui non legerunt ἡ στιγμή; οὕτω δὲ καὶ ἡ στιγμὴ καὶ ὅλως ὁ ὅρος de coniectura scripsit Torst. ‖ 22. ἐν LSVX Trend., ἓν etiam Simpl. Philop. Soph. in marg., Bek. Torst. ‖ 22. et 23. καὶ τῷ] ἢ τῷ Ly Simpl., ἢ UVWX, om. S, καὶ τῷ T Philop. ‖ 23. ὂν] ὃν omnes libri scripti et impressi, ὂν restituerunt Freudenthal l. l. et Neuhaeuser, confirmant Simpl. et vet. transl., quae vertit *ens* ‖ ἑκάτερα Simpl., post ἑκατ. excidisse ἐναντίον coni. Torst., cui assentitur Freudenthal l. l. ‖ ὡς .... ἄλληλα unc. incl. Torst., legit etiam Simpl., Philop., defendit Neuhaeuser l. l. p. 57 ‖ 24. μὴ om. TVWy Simpl. Bek. Trend., leg. etiam Philop. Soph. vet. transl. ‖ 25. τἀναντία SWXy Bek. Trend., τὰ ἐναντία etiam Soph. Torst. ‖ 26. ὡς... ἄλληλα inter-

pensée discursive

Falstaff. R. ἔσχατον the κοινὴ αἴσθησις or its organ.

'ici' non pas 'ainsi'.
Limit.

The common sense

ie ΑΓ : ΒΔ.

ΑΓ n ΒΔ.

reason, concepts & imagination.

ἡ διανοητικὴ ψυχή.

τῶν εἴδεα.

common sense (perceiving motion)

or rather

καὶ καθόλου πράττει τὸ Smith.

le vrai est absolu. le bien est toujours le bien de quelque chose

πρὸς ἄλληλα]· ὥστε καὶ ἐναλλάξ. εἰ δὴ τὰ ΓΔ ἑνὶ εἴη ὑπάρχοντα, οὕτως ἕξει ὥσπερ καὶ τὰ ΑΒ, τὸ αὐτὸ μὲν καὶ ἕν, τὸ δ' εἶναι οὐ τὸ αὐτό, κἀκεῖνο ὁμοίως. ὁ δ' αὐτὸς λόγος καὶ εἰ τὸ μὲν Α τὸ γλυκὺ εἴη, τὸ δὲ Β τὸ λευκόν. 431b
τὰ μὲν οὖν εἴδη τὸ νοητικὸν ἐν τοῖς φαντάσμασι νοεῖ, καὶ ὡς ἐν ἐκείνοις ὥρισται αὐτῷ τὸ διωκτὸν καὶ φευκτόν, καὶ ἐκτὸς τῆς αἰσθήσεως, ὅταν ἐπὶ τῶν φαντασμάτων ᾖ, κινεῖται· οἷον αἰσθανόμενος τὸν φρυκτὸν ὅτι πῦρ, τῇ κοινῇ γνωρίζει, ὁρῶν κινούμενον, ὅτι πολέμιος. ὁτὲ δὲ τοῖς ἐν τῇ ψυχῇ φαντάσμασιν ἢ νοήμασιν ὥσπερ ὁρῶν λογίζεται καὶ βουλεύεται τὰ μέλλοντα πρὸς τὰ παρόντα· καὶ ὅταν εἴπῃ ὡς ἐκεῖ τὸ ἡδὺ ἢ λυπηρόν, ἐνταῦθα φεύγει ἢ διώκει, καὶ ὅλως ἐν πράξει. καὶ τὸ ἄνευ δὲ πράξεως, τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, ἐν τῷ αὐτῷ γένει ἐστὶ τῷ ἀγαθῷ καὶ κακῷ· ἀλλὰ τῷ γε ἁπλῶς διαφέρει καὶ τινί. τὰ δὲ ἐν ἀφαιρέσει λεγόμενα νοεῖ ὥσπερ ἂν εἰ τὸ σιμόν, ᾗ μὲν σιμόν, οὐ κεχωρισμένως, ᾗ δὲ κοῖλον, εἴ τις ἐνόει ἐνεργείᾳ, ἄνευ τῆς σαρκὸς ἂν ἐνόει ἐν ᾗ τὸ κοῖλον· οὕτω τὰ μαθηματικὰ

polata esse iudicant Freudenthal et Baeumker, p. 74 ‖ 27. ἓν Ty ‖ 28. καὶ τὰ] καὶ τὸ STV, κἂν εἰ τὰ coni. Torst. ‖ 29. pro κἀκεῖνο, quod etiam leg. Philop., coni. κἀκεῖνα Jul. Pacius, Torst. Brentano ‖ 431b, 1. καὶ] κἂν SUVX Simpl. ‖ μὲν τὸ SUVWX ‖ 3. ὥριστο UX et corr. S, etiam Simpl. ‖ 4. αἰσθ. ὃν ὅταν STUVX, αἰσθ. ὧν ὅταν Wy ‖ 5. φευκτὸν TUVWX, φρυκτὸν etiam Them. Simpl. Philop. ‖ ὅτι πῦρ unc. incl. Torst., leg. Philop. Simpl. ‖ κοινῇ] κινήσει Basil. in marg., τῇ κινήσει scripsit Torst., κοινῇ etiam Philop. et Simpl. ‖ 9. post ἐνταῦθα excidisse τὸ ἀγαθὸν ἢ κακὸν coni. Torst ‖ 11. τὸ om. L ‖ καὶ τῷ κακῷ LUX, ἢ τῷ W, τῷ om. etiam Simpl. ‖ 12. γε om. SWy ‖ τὰ δὲ ... 19. ὕστερον a re proposita aliena et τὰ δὲ ... 16. ἐκεῖναι corrupta esse iudicat Torst. ‖ 12. ἐν om. STUX Them., leg. Simpl. Philop. ‖ 13. ἂν om. SVX, leg. etiam Philop. ‖ 14. ᾗ δὲ κοῖλον] εἰ δὲ καμπύλον X, καμπύλον in interpret. etiam Simpl. Philop., κοῖλον Them. ‖ εἴ τις] εἴ τι Ly Simpl., om. X, ἐννοεῖ S ἐννόει V ‖ ὥσπερ ἄνευ coni. Torst., quod refellit Vahlen, Oest. Gymn. Ztschr. 1867 p. 722 ‖ 15. ἐν ᾗ om. SUV, leg. Simpl.

οὐ κεχωρισμένα ὡς κεχωρισμένα νοεῖ, ὅταν νοῇ ἐκεῖνα. ὅλως δὲ ὁ νοῦς ἐστιν ὁ κατ' ἐνέργειαν τὰ πράγματα [νοῶν]. ἆρα δ' ἐνδέχεται τῶν κεχωρισμένων τι νοεῖν ὄντα αὐτὸν μὴ κεχωρισμένον μεγέθους, ἢ οὔ, σκεπτέον ὕστερον.

Νῦν δὲ περὶ ψυχῆς τὰ λεχθέντα συγκεφαλαιώσαν- 8
τες, εἴπωμεν πάλιν ὅτι ἡ ψυχὴ τὰ ὄντα πώς ἐστιν· πάντα γὰρ ἢ αἰσθητὰ τὰ ὄντα ἢ νοητά, ἔστι δ' ἡ ἐπιστήμη μὲν τὰ ἐπιστητά πως, ἡ δ' αἴσθησις τὰ αἰσθητά· πῶς δὲ τοῦτο, δεῖ ζητεῖν. τέμνεται οὖν ἡ ἐπιστήμη καὶ ἡ αἴσθησις εἰς τὰ πράγματα, ἡ μὲν δυνάμει εἰς δυνάμεις, ἡ δ' ἐντελεχείᾳ εἰς ἐντελεχείας. τῆς δὲ ψυχῆς τὸ αἰσθητικὸν καὶ τὸ ἐπιστημονικὸν δυνάμει ταὐτά ἐστι, τὸ μὲν ἐπιστητὸν τὸ δὲ αἰσθητόν. ἀνάγκη δ' ἢ αὐτὰ ἢ τὰ εἴδη εἶναι. αὐτὰ μὲν δὴ οὔ· οὐ γὰρ ὁ λίθος ἐν τῇ ψυχῇ, ἀλλὰ τὸ εἶ-

16. ὡς κεχ.] ὡσεὶ κεχ. T, τῇ ὑποστάσει L, τῇ ὑποστάσει ὡς κεχ. W, alteram quoque lectionem ferri: οὐ κεχωρισμένως ὡς κεχωρισμένως commemorat Simpl., ὡς κεχωρισμένα etiam Philop. Simpl. et, ut videtur, Them. ‖ νοῇ ⟨ἢ⟩ ἐκεῖνα legendum proponit Bon. cf. Oest. Gymn. Ztschr. 1867 p. 722 ‖ 17. νοῶν om. LU pr. E et Torst., uncis incl. Bon. ind. Arist. 491a, 61., legit Simpl. et vet. transl., non leg. hoc loco et ad 402b, 7. Philop. ‖ 18. αὐτὸν ὄντα SVWXy ‖ 21. et 22. ex solo E scripsi: ἐστι· πάντα γὰρ ἢ, reliqui codd. ἐστι πάντα· ἢ γὰρ (om. γὰρ L) αἰσθ. quod habent etiam Them. vet. transl. Bek. Trend. Torst., qui coniecit: ἐστι πάντα· πάντα γὰρ ἢ ‖ 22. δ'] δὴ EL, δὲ ἡ Them. Soph. ‖ 24. εἰς om. L Soph., insert. E_2 (Stapf.), ὡς coni. Susemihl, ὥσπερ καὶ τὰ πραγ. coni. Torst. ‖ 25. δυνάμεις et 26. ἐντελεχείας L et pr. E Torst., τὰς δυνάμεις et τὰς ἐνεργείας Soph., τὰ δυνάμει et τὰ ἐντελεχείᾳ reliqui codd. omnes (praeterquam quod etiam SX τὰς ἐντελεχείας praebent), etiam Them. Simpl. Philop. et vet. transl., εἰς δυνάμεις et εἰς ἐντελεχείας scribarum errore ex εἰς δυνάμει et εἰς ἐντελεχείᾳ (sc. πράγματα) orta esse suspicatur Christ ‖ 27. τὸ om. ELSUVX, leg. Soph. ‖ ταὐτόν EL Bek., ταὐτά corr. E_2, ταῦτα etiam Soph. et vet. transl. ‖ ἐπιστημονικὸν SUV et 28. αἰσθητικόν S, ταῦτά ἐστι, τὸ μὲν ἐπιστημονικὸν τὸ ἐπιστητόν, τὸ δὲ αἰσθητικὸν τὸ αἰσθητόν scripsit Torst., vulgatam tuetur etiam vet. transl. ‖ 29. γὰρ ante δὴ STUX Soph., om. etiam Philop. et vet. transl. ‖ ὁ om. EL Them. Philop., leg. Soph.

τὰ ἐν ἀφαιρέσει λ.

8. How is reason = things thought & sensation = things perceived.
complete, go on to say.

leg = ~~[illegible]~~ ταμεῖν ἐπιστήμην, τὸ δὲ αἴσθησιν ⟨ potentially ⟩

ταῦτα = τὰ πράγματα

= καταλήψεις.

= τὰ ἀδιαίρετα.
τὰ ἐν καὶ συμπλοκῇ.

9. Πολιτ. Parts of the soul. To which is [illegible] due ?
animals. excludes plants

νοῦς [illegible] = διανοίας above

δος· ὥστε ἡ ψυχὴ ὥσπερ ἡ χείρ ἐστιν· καὶ γὰρ ἡ χεὶρ 432 a
ὄργανόν ἐστιν ὀργάνων, καὶ ὁ νοῦς εἶδος εἰδῶν καὶ ἡ αἴσθησις εἶδος αἰσθητῶν. ἐπεὶ δὲ οὐδὲ πρᾶγμα οὐθέν ἐστι παρὰ τὰ μεγέθη, ὡς δοκεῖ, τὰ αἰσθητὰ κεχωρισμένον, ἐν τοῖς εἴδεσι τοῖς αἰσθητοῖς τὰ νοητά ἐστι, τά τε ἐν ἀφαιρέσει λεγόμενα, καὶ ὅσα τῶν αἰσθητῶν ἕξεις καὶ πάθη. καὶ διὰ τοῦτο οὔτε μὴ αἰσθανόμενος μηθὲν οὐθὲν ἂν μάθοι οὐδὲ ξυνίοι· ὅταν τε θεωρῇ, ἀνάγκη ἅμα φαντάσματι θεωρεῖν· τὰ γὰρ φαντάσματα ὥσπερ αἰσθήματά ἐστι, πλὴν ἄνευ ὕλης. ἔστι δ' ἡ φαντασία ἕτερον φάσεως καὶ ἀποφάσεως· συμπλοκὴ γὰρ νοημάτων ἐστὶ τὸ ἀληθὲς ἢ ψεῦδος. τὰ δὲ πρῶτα νοήματα τίνι διοίσει τοῦ μὴ φαντάσματα εἶναι; ἢ οὐδὲ τἆλλα φαντάσματα, ἀλλ' οὐκ ἄνευ φαντασμάτων.

9 Ἐπεὶ δὲ ἡ ψυχὴ κατὰ δύο ὥρισται δυνάμεις ἡ τῶν ζῴων, τῷ τε κριτικῷ, ὃ διανοίας ἔργον ἐστὶ καὶ αἰσθήσεως, καὶ ἔτι τῷ κινεῖν τὴν κατὰ τόπον κίνησιν, περὶ μὲν αἰσθήσεως καὶ νοῦ διωρίσθω τοσαῦτα, περὶ δὲ τοῦ κινοῦντος, τί ποτέ ἐστι τῆς ψυχῆς, σκεπτέον, πότερον ἕν τι μόριον αὐτῆς χωριστὸν ὂν ἢ μεγέθει ἢ λόγῳ, ἢ πᾶσα ἡ ψυχή, κἂν εἰ μόριόν τι, πότερον ἴδιόν τι παρὰ τὰ εἰωθότα λέγεσθαι καὶ τὰ εἰρημένα, ἢ τούτων ἕν τι. ἔχει δὲ ἀπορίαν

432a, 2. νοῦς ἐστιν SVy, νοῦς δὲ TW ‖ εἶδος om. E, ἐστιν εἶδος marg. E ‖ 5. ἐν om. ELSUV Them., ἐν leg. Simpl. Philop. ‖ 7. αἰσθανόμενον L et E (Trend.) ‖ 8. ξυνίῃ LSXy Philop., ξυνίοι reliqui codd. Trend., ξυνείη Bek. Torst. ‖ δὲ TUV ‖ φαντάσματα SUWX, φαντάσματι E, ι in rasura, et Them. Philop., reliqui φάντασμά τι, etiam Simpl. vet. transl. Bek. Trend. Torst. ‖ 10. καὶ ἀποφάσεως om. SUV, leg. etiam Soph. ‖ 11. ἐστι νοημάτων SUV ‖ 12. τίνι EL, reliqui τί, etiam Them. Philop. hoc loco et ad 403a, 8. ‖ φάντασμα E, φαντάσματα etiam Them. Philop. ‖ 13. τἆλλα] ταῦτα Them. Ald. Torst., τἆλλα vel τὰ ἄλλα etiam Simpl., et Philop. hoc loco et ad 403a, 8. ‖ 15. ἡ ante τῶν om. L et pr. E (Bus.) Soph. ‖ 20. ἢ post ὂν om. SUW Soph., leg. Simpl.

εὐθὺς πῶς τε δεῖ μόρια λέγειν τῆς ψυχῆς καὶ πόσα. τρόπον γάρ τινα ἄπειρα φαίνεται, καὶ οὐ μόνον ἅ τινες λέγουσι διορίζοντες, λογιστικὸν καὶ θυμικὸν καὶ ἐπιθυμητικόν, οἱ δὲ τὸ λόγον ἔχον καὶ τὸ ἄλογον· κατὰ γὰρ τὰς διαφορὰς δι' ἃς ταῦτα χωρίζουσι, καὶ ἄλλα φανεῖται μόρια μείζω διάστασιν ἔχοντα τούτων, περὶ ὧν καὶ νῦν εἴρηται, τό τε θρεπτικόν, ὃ καὶ τοῖς φυτοῖς ὑπάρχει καὶ πᾶσι τοῖς ζῴοις, καὶ τὸ αἰσθητικόν, ὃ οὔτε ὡς ἄλογον οὔτε ὡς λόγον ἔχον θείη ἄν τις ῥᾳδίως. ἔτι δὲ τὸ φανταστικόν,
432b ὃ τῷ μὲν εἶναι πάντων ἕτερον, τίνι δὲ τούτων ταὐτὸν ἢ ἕτερον, ἔχει πολλὴν ἀπορίαν, εἴ τις θήσει κεχωρισμένα μόρια τῆς ψυχῆς. πρὸς δὲ τούτοις τὸ ὀρεκτικόν, ὃ καὶ λόγῳ καὶ δυνάμει ἕτερον ἂν δόξειεν εἶναι πάντων. καὶ ἄτοπον δὴ τὸ τοῦτο διασπᾶν· ἔν τε τῷ λογιστικῷ γὰρ ἡ βούλησις γίνεται, καὶ ἐν τῷ ἀλόγῳ ἡ ἐπιθυμία καὶ ὁ θυμός· εἰ δὲ τρία ἡ ψυχή, ἐν ἑκάστῳ ἔσται ὄρεξις. καὶ δὴ καὶ περὶ οὗ νῦν ὁ λόγος ἐνέστηκε, τί τὸ κινοῦν κατὰ τόπον τὸ ζῷόν ἐστιν; τὴν μὲν γὰρ κατ' αὔξησιν καὶ φθίσιν κίνησιν, ἅπασιν ὑπάρχουσαν, τὸ πᾶσιν ὑπάρχον δόξειεν ἂν κινεῖν τὸ γεννητικὸν καὶ θρεπτικόν· περὶ δὲ ἀναπνοῆς καὶ ἐκπνοῆς καὶ ὕπνου καὶ ἐγρηγόρσεως ὕστερον ἐπισκεπτέον· ἔχει γὰρ καὶ ταῦτα πολ-

23. τε] ποτε W, om. L, τε leg. Soph. ‖ δεῖ] δὴ E (Trend.), δεῖ corr. ‖ λέγειν ψυχῆς X, ψυχῆς λέγειν STUVWy, Soph. ‖ 27. ταύτας EL, ταῦτα etiam Soph. ‖ φαίνεται TUWXy, φαίνονται LSV, φανεῖται etiam Soph. ‖ 29. τε om. STUVWX, δὲ y, τε etiam Soph. ‖ ὃ om. SUV, leg. Them. ‖ 30. ὃ om. UV ‖ 432b, 1. ὃ om. E, leg. etiam Soph. ‖ τὸ EL, τῷ leg. Them. Soph. ‖ τινὶ Bek., τίνι etiam Philop. Soph. ‖ 4. πάντων om. Wy, leg. etiam Them. Soph. ‖ δὴ τὸ τοῦτο] δὲ τοῦτο TVy, δὲ τὸ τοῦτο W, δὴ τὸ τοῦτο E Soph., artic. τὸ etiam Them. Simpl., reliqui δὴ τοῦτο etiam Bek. Trend. δὴ τὸ, uncis includens τοῦτο, Torst. ‖ 9. αὔξην E (Trend.), αὔξησιν etiam in interpret. Them. Philop. Soph. ‖ ἅπασιν ὑπάρχουσαν E et Soph., ἡ πᾶσιν ὑπάρχουσα W, αἱ πᾶσιν ὑπάρχουσι reliqui codd. ‖ 10. καὶ θρεπτικόν om. EL, leg. etiam Them. Soph., καὶ τὸ θρ. S ‖ 11. καὶ ante ὕπνου om. E.

Eth Nic 1.13 [illegible]

from one another than these.

i.e. with which is it to be joined having relation both to sense & reason

nutritive ; sensitive.

ξ ὑποθέσεως.

ευκτὸν κ. διωκτόν

φεύγειν

λὴν ἀπορίαν. ἀλλὰ περὶ τῆς κατὰ τόπον κινήσεως, τί τὸ κινοῦν τὸ ζῷον τὴν πορευτικὴν κίνησιν, σκεπτέον. ὅτι μὲν οὖν οὐχ ἡ θρεπτικὴ δύναμις, δῆλον· ἀεί τε γὰρ ἕνεκά του ἡ κίνησις αὕτη, καὶ ἢ μετὰ φαντασίας ἢ ὀρέξεώς ἐστιν· οὐθὲν γὰρ μὴ ὀρεγόμενον ἢ φεῦγον κινεῖται ἀλλ' ἢ βίᾳ. ἔτι κἂν τὰ φυτὰ κινητικὰ ἦν, κἂν εἶχέ τι μόριον ὀργανικὸν πρὸς τὴν κίνησιν ταύτην. ὁμοίως δὲ οὐδὲ τὸ αἰσθητικόν· πολλὰ γάρ ἐστι τῶν ζῴων ἃ αἴσθησιν μὲν ἔχει, μόνιμα δ' ἐστὶ καὶ ἀκίνητα διὰ τέλους. εἰ οὖν ἡ φύσις μήτε ποιεῖ μάτην μηθὲν μήτε ἀπολείπει τι τῶν ἀναγκαίων, πλὴν ἐν τοῖς πηρώμασι καὶ ἐν τοῖς ἀτελέσιν· τὰ δὲ τοιαῦτα τῶν ζῴων τέλεια καὶ οὐ πηρώματά ἐστιν· σημεῖον δ' ὅτι ἔστι γεννητικὰ καὶ ἀκμὴν ἔχει καὶ φθίσιν· ὥστ' εἶχεν ἂν καὶ τὰ ὀργανικὰ μέρη τῆς πορείας. ἀλλὰ μὴν οὐδὲ τὸ λογιστικὸν καὶ ὁ καλούμενος νοῦς ἐστὶν ὁ κινῶν· ὁ μὲν γὰρ θεωρητικὸς οὐθὲν νοεῖ πρακτόν, οὐδὲ λέγει περὶ φευκτοῦ καὶ διωκτοῦ οὐθέν, ἀεὶ δὲ ἡ κίνησις ἢ φεύγοντος ἢ διώκοντός τί ἐστιν. ἀλλ' οὐδ' ὅταν θεωρῇ τι τοιοῦτον, ἤδη κελεύει διώκειν ἢ φεύγειν, οἷον πολλάκις διανοεῖται φοβερόν τι ἢ ἡδύ, οὐ κελεύει δὲ φοβεῖσθαι, ἡ δὲ καρδία κινεῖται, ἂν δ' ἡδύ, ἕτερόν τι μόριον. ἔτι καὶ ἐπιτάττοντος 433a *τοῦ νοῦ καὶ λεγούσης τῆς διανοίας φεύγειν τι ἢ διώκειν οὐ κι-*

13. *τί* om. E, leg. etiam Them. Soph. ‖ 15. *τε* ET, reliqui om., leg. etiam Philop. Soph. ‖ *ἡ* ante *κίνησις* om. pr. E (Trend.) ‖ 16. *ἢ* post *καὶ* om. SW Soph., leg. Philop. Simpl. ‖ 21. *διὰ τέλους*] *διατελεῖ* Wy ‖ *εἰ οὖν. . . μηθὲν* hic variant SVWX, vulgatam tuentur etiam Simpl. Soph. ‖ 22. *τι* EV, reliqui codd. et Simpl. om., leg. etiam Them. Philop. Soph. ‖ 23. *ἐν* om. LTV Them. Simpl., leg. etiam Soph. ‖ 24. *ἔστι* solus E, reliqui om., etiam Them. Soph. ‖ 27. *κινῶν*] *ἐκείνων* pr. E ‖ *θεωρεῖ* EL et, ut videtur, Them., *νοεῖ* legisse videtur etiam Soph. ‖ 28. *ἡ δὲ* W Bek. Trend. Torst., *ἀεὶ δὲ ἡ* STUVXy et vet. transl. *ἡ* insert. E_2 (Bhl.) ‖ *φεύγοντός τι ἢ διώκ. τι* omnes libri et scripti et impressi exceptis E et Soph. ‖ 30. *φεύγειν ἢ διώκειν* exceptis EL et vet. transl. omnes scripti et impressi ‖ 31. *τι φοβερὸν* TUV ‖ *φοβεῖσθαι· ἡ δέ γε καρδία* coni. Torst.

νεῖται, ἀλλὰ κατὰ τὴν ἐπιθυμίαν πράττει, οἷον ὁ ἀκρατής. καὶ ὅλως δὲ ὁρῶμεν ὅτι ὁ ἔχων τὴν ἰατρικὴν οὐκ ἰᾶται, ὡς ἑτέρου τινὸς κυρίου ὄντος τοῦ ποιεῖν κατὰ τὴν ἐπιστήμην, ἀλλ' οὐ τῆς ἐπιστήμης. ἀλλὰ μὴν οὐδ' ἡ ὄρεξις ταύτης κυρία τῆς κινήσεως· οἱ γὰρ ἐγκρατεῖς ὀρεγόμενοι καὶ ἐπιθυμοῦντες οὐ πράττουσιν ὧν ἔχουσι τὴν ὄρεξιν, ἀλλ' ἀκολουθοῦσι τῷ νῷ.

Φαίνεται δέ γε δύο ταῦτα κινοῦντα, ἢ ὄρεξις ἢ νοῦς, εἴ τις τὴν φαντασίαν τιθείη ὡς νόησίν τινα· πολλὰ γὰρ παρὰ τὴν ἐπιστήμην ἀκολουθοῦσι ταῖς φαντασίαις, καὶ ἐν τοῖς ἄλλοις ζῴοις οὐ νόησις οὐδὲ λογισμός ἐστιν, ἀλλὰ φαντασία. ἄμφω ἄρα ταῦτα κινητικὰ κατὰ τόπον, νοῦς καὶ ὄρεξις, νοῦς δὲ ὁ ἕνεκά του λογιζόμενος καὶ ὁ πρακτικός· διαφέρει δὲ τοῦ θεωρητικοῦ τῷ τέλει. καὶ ἡ ὄρεξις ἕνεκά του πᾶσα· οὗ γὰρ ἡ ὄρεξις, αὕτη ἀρχὴ τοῦ πρακτικοῦ νοῦ· τὸ δ' ἔσχατον ἀρχὴ τῆς πράξεως. ὥστε εὐλόγως ταῦτα δύο φαίνεται τὰ κινοῦντα, ὄρεξις καὶ διάνοια πρακτική· τὸ ὀρεκτὸν γὰρ κινεῖ, καὶ διὰ τοῦτο ἡ διάνοια κινεῖ, ὅτι ἀρχὴ αὐτῆς ἐστι τὸ ὀρεκτόν. καὶ ἡ φαντασία δὲ ὅταν κινῇ, οὐ κινεῖ ἄνευ ὀρέξεως. ἓν δή τι τὸ κινοῦν τὸ ὀρεκτικόν. εἰ γὰρ δύο, νοῦς καὶ ὄρεξις, ἐκίνουν, κατὰ κοινὸν ἄν τι ἐκίνουν εἶδος. νῦν δὲ ὁ μὲν

433a, 3. πράττειν E (Trend.) et y || ὁ om. STUXy, leg. Them. || 4. ὁ om. L, leg. Them. Soph. || τὴν om. TW, leg. Them. Soph. || οὐκ expellendum esse censet Christ || 9. ταῦτα δύο EL, δύο ταῦτα etiam Them. Soph. et vet. transl. || 10. θείη W Philop. || 12. οὐ] οὐχ ἡ L, ἡ STVX || οὐδὲ] οὐ TVX et pr. E, vulgatam utrobique tuentur Simpl. Philop. || 15. οὗ γὰρ ... 16. νοῦ post., 18. τὸ ὀρεκτὸν ... 20. ὀρεκτόν pr. edit. esse iudicat Torst., quod negat Noetel et refellit Pansch, Philologus XXI p. 543, qui, ut Torstrikii contaminationem evitet, legendum proponit: οὐ γὰρ ἡ ὄρεξις αὐτὴ || 16. αὐτὴ X || 17. δύο ταῦτα STUVXy Them. || τὰ om. E, insert. E_2 || 18. διάν. ἡ πρ. TX || ὀρεκτὸν E Them. vet. transl., ceteri codd. ὀρεκτικὸν || 20. ὀρεκτόν EL Them. vet. transl., reliqui codd. ὀρεκτικόν || κινεῖ om. pr. E (Trend.) || 21. ὀρεκτόν ELW Them. et, ut videtur, Philop., et ὀρεκτόν et ὀρεκτικόν legi commemorat Simpl., ὀρεκτικόν corr. E_2, et Torst., ὀρεκτόν defendere studet Pansch l. l., cui assentitur Trend. || 22. εἶδος ἐκίνουν SUVWXy et Simpl.

4 narrow sense = ἐπιθυμία, ἄλογος ὄρεξις
c'est à dire

10
(Practical reason, imagination), desire : determine motion.
in many things they..

wide sense to include poiesis.

three moments in motion.

emphatic.

sc. [illegible]

νοῦς οὐ φαίνεται κινῶν ἄνευ ὀρέξεως· ἡ γὰρ βούλησις ὄρεξις· ὅταν δὲ κατὰ τὸν λογισμὸν κινῆται, καὶ κατὰ βούλησιν κινεῖται. ἡ δ' ὄρεξις κινεῖ παρὰ τὸν λογισμόν· ἡ γὰρ ἐπιθυμία ὄρεξίς τίς ἐστιν. νοῦς μὲν οὖν πᾶς ὀρθός ἐστιν· ὄρεξις δὲ καὶ φαντασία καὶ ὀρθὴ καὶ οὐκ ὀρθή. διὸ ἀεὶ κινεῖ μὲν τὸ ὀρεκτόν, ἀλλὰ τοῦτ' ἐστὶν ἢ τὸ ἀγαθὸν ἢ τὸ φαινόμενον ἀγαθόν· οὐ πᾶν δέ, ἀλλὰ τὸ πρακτὸν ἀγαθόν. πρακτὸν δ' ἐστὶ τὸ ἐνδεχόμενον καὶ ἄλλως ἔχειν.

ὅτι μὲν οὖν ἡ τοιαύτη δύναμις κινεῖ τῆς ψυχῆς ἡ καλουμένη ὄρεξις, φανερόν. τοῖς δὲ διαιροῦσι τὰ μέρη τῆς ψυχῆς, ἐὰν κατὰ τὰς 433b δυνάμεις διαιρῶσι καὶ χωρίζωσι, πάμπολλα γίνεται, θρεπτικόν, αἰσθητικόν, νοητικόν, βουλευτικόν, ἔτι ὀρεκτικόν· ταῦτα γὰρ πλέον διαφέρει ἀλλήλων ἢ τὸ ἐπιθυμητικὸν καὶ θυμικόν. ἐπεὶ δ' ὀρέξεις γίνονται ἐναντίαι ἀλλήλαις, τοῦτο δὲ συμβαίνει ὅταν ὁ λόγος καὶ αἱ ἐπιθυμίαι ἐναντίαι ὦσι, γίνεται δ' ἐν τοῖς χρόνου αἴσθησιν ἔχουσιν (ὁ μὲν γὰρ νοῦς διὰ τὸ μέλλον ἀνθέλκειν κελεύει, ἡ δ' ἐπιθυμία διὰ τὸ ἤδη· φαίνεται γὰρ τὸ ἤδη ἡδὺ καὶ ἁπλῶς ἡδὺ καὶ ἀγαθὸν ἁπλῶς, διὰ τὸ μὴ ὁρᾶν τὸ μέλλον), εἴδει μὲν ἓν ἂν εἴη τὸ κινοῦν τὸ ὀρεκτικόν, ᾗ ὀρεκτικόν, πρῶτον δὲ πάντων τὸ ὀρεκτόν (τοῦτο γὰρ κινεῖ οὐ κινούμενον τῷ νοηθῆναι ἢ φαντασθῆναι), ἀριθμῷ δὲ πλείω τὰ κινοῦντα. ἐπειδὴ δ' ἐστὶ τρία, ἓν μὲν τὸ κινοῦν, δεύτερον δ' ᾧ κινεῖ, ἔτι τρίτον τὸ κινούμενον· τὸ δὲ κινοῦν διττόν,

25. *κινεῖ καὶ* Philop. et fort. Them., scripsit Torst. ‖ 26. *ὀρθός ἐστιν· ὀρ.* et 27. *μὲν κινεῖ* STUVWXy, *ὀρθός ἐστιν* etiam E_2 (Bhl.), *κινεῖ μὲν* etiam Them. ‖ 433b, 3. *ἔτι δὲ* STUVWX, *δὲ* insert. E_2, *δὲ* om. Simpl. ‖ 4. *πλεῖον* LSU, *πλείω* TVWXy Them. ‖ *τὸ* om. L et E (Trend.) ‖ 5. *γίν. καὶ ἐν.* SUV Them., *καὶ* om. etiam Soph. et, ut videtur, Philop. ‖ 6. *ὅταν ὅ τε λόγος καὶ αἱ επιθυμίαι* E (Bhl.) ‖ 9. *ἤδη* insert. E_2, leg. sine dubio Them. ‖ 10. *μὲν οὖν* TVXy Them., *μὲν δ* W, *οὖν* om. etiam Simpl. ‖ *ἂν εἴη ἓν* SUW, *ἂν ἓν εἴη* Simpl. ‖ 13. *ἐπεὶ* Ey Simpl., *ἐπειδὴ* etiam Philop. ap. Philop. Alex. et Plut. Athen. ‖ 14. *ἔτι τρίτον* E (Trend.) LS Torst., *καὶ ἔτι τρίτον* TXy Philop., *ἔτι* om. UVW Bek. Trend.

τὸ μὲν ἀκίνητον, τὸ δὲ κινοῦν καὶ κινούμενον· ἔστι δὲ τὸ μὲν ἀκίνητον τὸ πρακτὸν ἀγαθόν, τὸ δὲ κινοῦν καὶ κινούμενον τὸ ὀρεκτικόν (κινεῖται γὰρ τὸ ὀρεγόμενον ᾗ ὀρέγεται, καὶ ἡ ὄρεξις κίνησίς τίς ἐστιν ἢ ἐνέργεια), τὸ δὲ κινούμενον τὸ ζῷον· ᾧ δὲ κινεῖ ὀργάνῳ ἡ ὄρεξις, ἤδη τοῦτο σωματικόν ἐστιν· διὸ ἐν τοῖς κοινοῖς σώματος καὶ ψυχῆς ἔργοις θεωρητέον περὶ αὐτοῦ. νῦν δὲ ὡς ἐν κεφαλαίῳ εἰπεῖν, τὸ κινοῦν ὀργανικῶς ὅπου ἀρχὴ καὶ τελευτὴ τὸ αὐτό, οἷον ὁ γιγγλυμός· ἐνταῦθα γὰρ τὸ κυρτὸν καὶ τὸ κοῖλον τὸ μὲν τελευτὴ τὸ δ' ἀρχή· διὸ τὸ μὲν ἠρεμεῖ τὸ δὲ κινεῖται, λόγῳ μὲν ἕτερα ὄντα, μεγέθει δ' ἀχώριστα· πάντα γὰρ ὤσει καὶ ἕλξει κινεῖται. διὸ δεῖ ὥσπερ ἐν κύκλῳ μένειν τι, καὶ ἐντεῦθεν ἄρχεσθαι τὴν κίνησιν. ὅλως μὲν οὖν, ὥσπερ εἴρηται, ᾗ ὀρεκτικὸν τὸ ζῷον, ταύτῃ ἑαυτοῦ κινητικόν· ὀρεκτικὸν δὲ οὐκ ἄνευ φαντασίας· φαντασία δὲ πᾶσα ἢ λογιστικὴ ἢ αἰσθητική. ταύτης μὲν οὖν καὶ τὰ ἄλλα ζῷα μετέχει.

Σκεπτέον δὲ καὶ περὶ τῶν ἀτελῶν, τί τὸ κινοῦν ἐστίν, 11
434a οἷς ἁφὴ μόνον ὑπάρχει αἴσθησις, πότερον ἐνδέχεται φαν-

15. κινοῦν καὶ om. E leg. etiam Them. Simpl. Philop. ‖ 16. τὸ post. κιν. om. ELSUV ‖ 17. ὀρεκτόν corr. E (Trend.) ‖ ὀρεγόμενον TXy vet. transl. Belger. Torst., reliqui κινούμενον. etiam Simpl. Philop. Bek. Trend., quibus assentitur Pansch l. l. p. 545. ‖ 18. κίνησις ὄρεξις EL et, ut videtur, Them. Bek., ὄρεξις κίνησις etiam Simpl. Philop. vet. transl. Trend. Torst. ‖ τις om. TWXy, leg. Simpl. Philop. ‖ ἡ ἐνέργεια E, ἢ ἐνέργεια U Philop., καὶ ἐνέργεια Them., ᾗ ἐνέργεια etiam Simpl., qui tamen et ἢ ἐνεργ. scribi posse dicit, ἡ ἐνεργείᾳ scripsit Torst. ‖ 21. αὐτῶν E (Trend.) LUVWy, αὐτοῦ etiam Them. Soph. et, ut videtur, Simpl. ‖ 22. ὅπου ἂν ἀρχὴ EW Soph. ‖ γινγλυμός E et Trend., γιγλυμός X, γιγλυσμός STV, γιγγλισμός UWX, γιγγλυσμός Soph., γίγγλυμος Simpl. Philop. et ap. Simpl. Alex. et Plut. Athen., γιγγλυμός Them. (v. l. γιγγλυσμός) Bek. Torst. ‖ 23. καὶ τὸ κοῖλον X et rc. E (Bus.) Soph., reliqui om. τὸ, etiam Bek. Trend. Torst. ‖ 28. ἑαυτοῦ V Them., δ' αὐτοῦ EL Soph., reliqui omnes αὐτοῦ ‖ 31. καὶ om. E, leg. Soph. ‖ ἀτελῶν etiam Them. Simpl. Soph., ἄλλων L, ἁπλῶν y ‖ 434a, 1. αἴσθ.] ἡ αἴσθησις E, ἢ αἴσθησις L, ἁφὴ μόνη αἴσθησις ὑπάρχει Simpl.

apodotai . ... no apodais to ... ...

[illegible]

à te centre pour qu'un cercle se meuve il faut que le centre reste immobile

11. Motion of lower animals. Deliberation + desire in will.

[illegible]

τασίαν ὑπάρχειν τούτοις, ἢ οὔ, καὶ ἐπιθυμίαν. φαίνεται γὰρ λύπη καὶ ἡδονὴ ἐνοῦσα. εἰ δὲ ταῦτα, καὶ ἐπιθυμίαν ἀνάγκη. φαντασία δὲ πῶς ἂν ἐνείη; ἢ ὥσπερ καὶ κινεῖται ἀορίστως, καὶ ταῦτ' ἔνεστι μέν, ἀορίστως δ' ἔνεστιν. ἡ μὲν οὖν αἰσθητικὴ φαντασία, ὥσπερ εἴρηται, καὶ ἐν τοῖς ἄλλοις ζῴοις ὑπάρχει, (ἡ δὲ βουλευτικὴ ἐν τοῖς λογιστικοῖς· πότερον γὰρ πράξει τόδε ἢ τόδε, λογισμοῦ ἤδη ἐστὶν ἔργον· καὶ ἀνάγκη ἑνὶ μετρεῖν· τὸ μεῖζον γὰρ διώκει. ὥστε δύναται ἓν ἐκ πλειόνων φαντασμάτων ποιεῖν.) καὶ αἴτιον τοῦτο τοῦ δόξαν μὴ δοκεῖν ἔχειν, ὅτι τὴν ἐκ συλλογισμοῦ οὐκ ἔχει, αὕτη δὲ ἐκείνην. διὸ τὸ βουλευτικὸν οὐκ ἔχει ἡ ὄρεξις· νικᾷ δ' ἐνίοτε καὶ κινεῖ τὴν βούλησιν· ὁτὲ δ' ἐκείνη ταύτην, ⟨ὁτὲ δ',⟩ ὥσπερ σφαῖρα, ἡ ὄρεξις τὴν ὄρεξιν, ὅταν ἀκρασία γένηται· φύσει δὲ ἀεὶ ἡ ἄνω ἀρχικωτέρα καὶ κινεῖ· ὥστε τρεῖς φορὰς ἤδη κινεῖσθαι. τὸ δ' ἐπιστημονικὸν οὐ κινεῖται, ἀλλὰ μένει. ἐπεὶ δ' ἡ μὲν καθόλου ὑπόληψις καὶ λόγος, ἡ δὲ τοῦ καθ' ἕκαστα (ἡ μὲν γὰρ λέγει ὅτι δεῖ τὸν τοιοῦτον τὸ τοιόνδε πράττειν, ἡ δὲ ὅτι τόδε τοίνυν τοιόνδε, κἀγὼ δὲ τοιόσδε), ἤδη αὕτη κινεῖ ἡ

3. ἔχουσα E, ἐνοῦσα etiam Them. ‖ 4. εἴη LSUVW ‖ ἢ om. ES ‖ ἀόριστος exceptis ES reliqui codd. omnes, ἀορίστως etiam Them. ‖ 5. τούτοις LX et, ut videtur, Philop., ταῦτα reliqui et corr. E ‖ ἀόριστος y, ἀορίστως etiam Philop. ‖ 6. ἀλόγοις TWy Them., ἄλλοις etiam Philop. ‖ 7. λογικοῖς WXy ‖ 9. πλεόνων E, πλειόνων Them. Simpl. Philop. ‖ 10. καὶ αἴτιον . . . 12. ὄρεξις mutila vel corrupta esse censet Torst., leg. Simpl. Philop. et, ut videtur, Them. ‖ 13. τὴν βούλησιν om. SVW ‖ σφαῖραν y ‖ ἡ δ' ὄρεξις τὴν ὄρ. coni. Trend., totum locum sic restituendum esse: νικᾷ δ' ἐνίοτε καὶ κ. τ. βούλησιν, ὅταν ἀκρασία γένηται· ὁτὲ δ' ἐκείνη ταύτην· ὁτὲ δ', ὥσπερ σφαῖραν σφαῖρα, ἡ ὄρ. τὴν ὄρ. coni. Torst., νικᾷ δ' ἐν. καὶ κ. τ. β., ὅταν ἀκρ. γ., ὁτὲ ἐκείνη ταύτην, ἢ ὄρεξις τὴν ὄρ. coni. Steinhart, vulgatam certe leg. Simpl. et vet. transl., legisse videntur Them. Soph., ὁτὲ δ' ante ὥσπερ de coniect. inserui ‖ 14. ἐνῇ L et E, γένηται corr. E_2 ‖ 16. κινεῖ TWX, vel κινεῖ vel κινεῖται hic legi commemorat Simpl. ‖ 17. ἕκαστον Ey Them. ‖ 19. τοίνυν] τὸ νῦν E, sed ita ut lacuna sit minuta inter το et νυν (Trend. Bus.) Bek. Trend., νῦν Xy, om. LSTUVW, τοίνυν

δόξα, οὐχ ἡ καθόλου· ἢ ἄμφω, ἀλλ' ἡ μὲν ἠρεμοῦσα μᾶλλον, ἡ δ' οὔ.

12 Τὴν μὲν οὖν θρεπτικὴν ψυχὴν ἀνάγκη πᾶν ἔχειν ὅτιπερ ἂν ζῇ, καὶ ψυχὴν ἔχει ἀπὸ γενέσεως καὶ μέχρι φθορᾶς· ἀνάγκη γὰρ τὸ γενόμενον αὔξησιν ἔχειν καὶ ἀκμὴν καὶ φθίσιν, ταῦτα δ' ἄνευ τροφῆς ἀδύνατον· ἀνάγκη ἄρα ἐνεῖναι τὴν θρεπτικὴν δύναμιν ἐν πᾶσι τοῖς φυομένοις καὶ φθίνουσιν. αἴσθησιν δ' οὐκ ἀναγκαῖον ἐν ἅπασι τοῖς ζῶσιν· οὔτε γὰρ ὅσων τὸ σῶμα ἁπλοῦν, ἐνδέχεται ἁφὴν ἔχειν, [οὔτε ἄνευ ταύτης οἷόν τε οὐθὲν εἶναι ζῷον] οὔτε ὅσα μὴ δεκτικὰ τῶν εἰδῶν ἄνευ τῆς ὕλης. τὸ δὲ ζῷον ἀναγκαῖον αἴσθησιν ἔχειν, εἰ μηθὲν μάτην ποιεῖ ἡ φύσις. ἕνεκά του γὰρ πάντα ὑπάρχει τὰ φύσει, ἢ συμπτώματα ἔσται τῶν ἕνεκά του. εἰ οὖν πᾶν σῶμα πορευτικόν, μὴ ἔχον αἴσθησιν, φθείροιτο ἂν καὶ 434b εἰς τέλος οὐκ ἂν ἔλθοι, ὅ ἐστι φύσεως ἔργον· πῶς γὰρ θρέψεται; τοῖς μὲν γὰρ μονίμοις ὑπάρχει τὸ ὅθεν πεφύκασιν. οὐχ οἷόν τε δὲ σῶμα ἔχειν μὲν ψυχὴν καὶ νοῦν κριτικόν, αἴσθησιν δὲ μὴ ἔχειν, μὴ μόνιμον ὄν, γενητὸν δέ. [ἀλλὰ μὴν

Simpl. Torst. ‖ 19. ἢ δὴ αὕτη . . . καθόλου, ἢ ἄμφω coni. Spengel in com. ad. Ar. rhet. II, 300. ‖ 20. καθόλου; ἢ scripsit Torst. ‖ 23. καὶ ἔχειν coni. Christ, ἔχῃ Xy Bek. Trend., ἔχει etiam Philop. Torst., ἔχειν videtur legisse Them. ‖ καὶ om. TU VXy ‖ 27. alios ζῶσιν, alios ζῴοις legere tradit Philop. ‖ 28. ὅσων] ὧν EL Philop., ὅσων etiam Simpl. 320, 38 et, ut videtur, Them. ‖ οὔτε . . . ζῷον unc. inclusi cum Torst., suspecta erant etiam Trend. ‖ 29. οὐθὲν οἷόν τε LTW, οἷόν τε οὐθὲν etiam Simpl. ‖ 31. μη-] exit E ‖ ἅπαντα LTVX ‖ 33. pro πᾶν coni. Torst. εἴη vel γένοιτο, cui assentitur Dittenberger l. l. p. 1615, pro ἔχον coni. Trend. ἔχοι, quod probat Steinhart, post πορευτικόν virgulam posui ‖ 434b, 2. τὸ] ταῦτα W, τοῦτο ST UVXy Trend. ‖ ὅθι U, ὅτι SVX. ὅθεν etiam Philop. Simpl. ‖ 4. γενητὸν et 5. ἀγένητον Simpl. Torst., reliqui omnes γεννητὸν et ἀγέννητον, etiam Them. Philop. ‖ ἀλλὰ . . . ἀγένητον unc. inclusi cum Torst., leg. quidem omnes libri scripti et impressi, etiam Them. Philop. Soph. et apud Simpl. et Philop. Alex. et Plut. et vet. transl., omisit Simpl., qui annotat 320, 28: ἔν τισι δὲ ἀντιγράφοις πρόσκειται τὸ ἀλλὰ μὴν οὐδὲ ἀγένητον.

12.

Nutritive soul essential to all life. Sensitive to all animal life

plants largely composed of earth.

tirent leur nourriture de la substance dont ils sont sortis.

[illegible] ζῷα ἐκ [illegible] ἰχθύας ?

Touch essential to the animal + taste: the rest luxuries

οὐδὲ ἀγένητον·] διὰ τί γὰρ ἕξει; ἢ γὰρ τῇ ψυχῇ βέλτιον ἢ τῷ σώματι. νῦν δ' οὐδέτερον· ἡ μὲν γὰρ οὐ μᾶλλον νοήσει, τὸ δ' οὐθὲν ἔσται μᾶλλον δι' ἐκεῖνο.) οὐθὲν ἄρα ἔχει ψυχὴν σῶμα μὴ μόνιμον ἄνευ αἰσθήσεως.

ἀλλὰ μὴν εἴγε αἴσθησιν ἔχει, ἀνάγκη τὸ σῶμα εἶναι ἢ ἁπλοῦν ἢ μικτόν. οὐχ οἷόν τε δὲ ἁπλοῦν· ἁφὴν γὰρ οὐχ ἕξει, ἔστι δὲ ἀνάγκη ταύτην ἔχειν. τοῦτο δὲ ἐκ τῶνδε δῆλον. ἐπεὶ γὰρ τὸ ζῷον σῶμα ἔμψυχόν ἐστι, σῶμα δὲ ἅπαν ἁπτόν, ἁπτὸν δὲ τὸ αἰσθητὸν ἁφῇ, ἀνάγκη καὶ τὸ τοῦ ζῴου σῶμα ἁπτικὸν εἶναι, εἰ μέλλει σώζεσθαι τὸ ζῷον. αἱ γὰρ ἄλλαι αἰσθήσεις δι' ἑτέρων αἰσθάνονται, οἷον ὄσφρησις ὄψις ἀκοή· ἁπτόμενον δέ, εἰ μὴ ἕξει αἴσθησιν, οὐ δυνήσεται τὰ μὲν φεύγειν τὰ δὲ λαβεῖν. εἰ δὲ τοῦτο, ἀδύνατον ἔσται σώζεσθαι τὸ ζῷον. διὸ καὶ ἡ γεῦσίς ἐστιν ὥσπερ ἁφή τις· τροφῆς γάρ ἐστιν, ἡ δὲ τροφὴ τὸ σῶμα τὸ ἁπτόν. ψόφος δὲ καὶ χρῶμα καὶ ὀσμὴ οὐ τρέφει, οὐδὲ ποιεῖ οὔτ' αὔξησιν οὔτε φθίσιν. ὥστε καὶ τὴν γεῦσιν ἀνάγκη ἁφὴν εἶναί τινα, διὰ τὸ τοῦ ἁπτοῦ καὶ θρεπτικοῦ αἴσθησιν εἶναι· αὗται μὲν οὖν ἀναγκαῖαι τῷ ζῴῳ, καὶ φανερὸν ὅτι οὐχ οἷόν τε ἄνευ ἁφῆς εἶναι ζῷον. αἱ δὲ ἄλλαι τοῦ τε εὖ ἕνεκα καὶ γένει ζῴων ἤδη οὐ τῷ τυχόντι, ἀλλὰ τισίν, οἷον τῷ πορευτικῷ ἀνάγκη ὑπάρχειν· εἰ γὰρ μέλλει σώζεσθαι, οὐ μόνον δεῖ ἁπτόμενον αἰσθάνεσθαι ἀλλὰ καὶ ἄποθεν. τοῦτο δ' ἂν εἴη, εἰ διὰ τοῦ μεταξὺ αἰσθητικὸν εἴη τῷ ἐκεῖνο μὲν ὑπὸ τοῦ αἰσθητοῦ πάσχειν καὶ κινεῖσθαι, αὐτὸ δ' ὑπ' ἐκείνου. ὥσπερ

5. γὰρ οὐχ ἕξει TUVW Plut. apud Simpl. et apud Philop. et vet. transl., om. οὐχ reliqui, etiam Them. Philop. Alex. ‖ verbis διὰ τί γὰρ ἕξει (sc. τὸ μόνιμον); ἢ γὰρ ... δι' ἐκεῖνο parenthesi inclusis apodosin sententiae conditionalis εἰ οὖν πᾶν ab οὐθὲν ἄρα ἔχει incipere statuit Christ ‖ 7. τῷ LW, τὸ etiam Them. ‖ 9. ἔχοι L, om. SUV ‖ 17. ἐστι TX, ἔσται etiam Philop. ‖ 18. διὸ καὶ... 19. ἁπτόν post., 21. ὥστε ... 22. εἶναι pr. edit. esse iudicat Torst. ‖ 24. τὸ ζῷον L, τὸ om. Them. ‖ 27. σώζεσθαι TWX, αἰσθάνεσθαι etiam Soph.

γὰρ τὸ κινοῦν κατὰ τόπον μέχρι του μεταβάλλειν ποιεῖ, καὶ τὸ ὦσαν ἕτερον ποιεῖ ὥστε ὠθεῖν, καὶ ἔστι διὰ μέσου ἡ κίνησις, καὶ τὸ μὲν πρῶτον κινεῖ καὶ ὠθεῖ οὐκ ὠθούμενον, τὸ δ' ἔσχατον μόνον ὠθεῖται οὐκ ὦσαν, τὸ δὲ μέσον ἄμφω, 435a πολλὰ δὲ μέσα, οὕτω ⟨καὶ⟩ ἐπ' ἀλλοιώσεως, πλὴν ὅτι μένοντος ἐν τῷ αὐτῷ τόπῳ ἀλλοιοῖ, οἷον εἰ εἰς κηρὸν βάψειέ τις, μέχρι τούτου ἐκινήθη, ἕως ἔβαψεν· λίθος δὲ οὐδέν, ἀλλ' ὕδωρ μέχρι πόρρω· ὁ δ' ἀὴρ ἐπὶ πλεῖστον κινεῖται καὶ ποιεῖ καὶ πάσχει, ἐὰν μένῃ καὶ εἷς ᾖ. διὸ καὶ περὶ ἀνακλάσεως βέλτιον ἢ τὴν ὄψιν ἐξιοῦσαν ἀνακλᾶσθαι, τὸν ἀέρα πάσχειν ὑπὸ τοῦ σχήματος καὶ χρώματος, μέχρι περ οὗ ἂν ᾖ εἷς. ἐπὶ δὲ τοῦ λείου ἐστὶν εἷς· διὸ πάλιν οὗτος τὴν ὄψιν κινεῖ, ὥσπερ ἂν εἰ τὸ ἐν τῷ κηρῷ σημεῖον διεδίδοτο μέχρι τοῦ πέρατος.

Ὅτι δ' οὐχ οἷόν τε ἁπλοῦν εἶναι τὸ τοῦ ζῴου σῶμα, 13 φανερόν, λέγω δ' οἷον πύρινον ἢ ἀέρινον. ἄνευ μὲν γὰρ ἁφῆς οὐδεμίαν ἐνδέχεται ἄλλην αἴσθησιν ἔχειν· τὸ γὰρ σῶμα ἁπτικὸν τὸ ἔμψυχον πᾶν, ὥσπερ εἴρηται. τὰ δὲ ἄλλα ἔξω γῆς αἰσθητήρια μὲν ἂν γένοιτο, πάντα δὲ τῷ δι' ἑτέρου αἰσθάνεσθαι ποιεῖ τὴν αἴσθησιν καὶ διὰ τῶν με-

30. *του* Torst., Soph. interpretatur *μέχρι τινός*, *τούτου* S, reliqui omnes *τοῦ* ‖ 31. *ὦσαν*] *ὠσθὲν* coni. Torst., *ὦσαν* etiam Simpl. Soph. et, ut videtur, Philop. ‖ *καὶ ἔστι . . . κίνησις*] *καὶ ἔστι ταῦτα διὰ μέσου* coni. Torst., vulg. tuetur Soph. ‖ 32. *καὶ τὸ μὲν πρ.* W Torst., *τὸ δὲ πρ.* L, *καὶ τὸ πρ. μὲν* TX, *καὶ μὲν δὴ τὸ πρ.* SU, *καὶ δὴ τὸ μὲν πρ.* Vy Bek. Trend. ‖ *κινεῖ καὶ ὠθεῖ* Ly Soph., reliqui *κινοῦν ὠθεῖ*, *κινοῦν* unc. incl. Torst. ‖ 435a, 1. *οὕτω δὴ ἐπ'* vel *οὕτω δὴ καὶ ἐπ'* coni. Torst., *οὕτω* vel *οὕτως καὶ ἐπὶ* Them. Simpl. Philop. Soph. vet. transl., om. *καὶ* omnes codd. ‖ *μένοντα* VWX Trend., *μένοντος* etiam Philop. et, ut videtur, Them. ‖ 3. *τοῦ* UX ‖ 5. *μείνῃ* SUXy Them. Philop., *μένῃ* etiam Soph. ‖ *περὶ ἀνακλάσεως* unc. incl. Torst., leg. Them. Philop. Soph. ‖ 6. *ἀνακλᾶσθαι* LW Them. Philop. Soph. Trend. Torst., reliqui *κλᾶσθαι* ‖ 7. *ἂν οὗ ᾖ εἷς* L, *οὗ ἂν ᾖ εἷς* TWX Soph., reliqui omnes *οὗ ἂν εἷς ᾖ* ‖ 8. *πάλιν* om. L, leg. Them. Philop., *πάλιν καὶ* W ‖ 13. *ἄλλην ἐνδέχεται* SUV.

?
repercussion, refraction - reflection

13.
Sensitive animal cannot consist of a single element

στοιχεια . ?

[illegible]

Touch only essential to life. Extremes of it destroy life.

defects of sight & touch.

ταξύ. ἡ δ' ἁφὴ τῷ αὐτῶν ἅπτεσθαί ἐστιν, διὸ καὶ τοὔνομα τοῦτο ἔχει. καίτοι καὶ τὰ ἄλλα αἰσθητήρια ἁφῇ αἰσθάνεται, ἀλλὰ δι' ἑτέρου· αὕτη δὲ δοκεῖ μόνη δι' αὑτῆς. ὥστε τῶν μὲν τοιούτων στοιχείων οὐθὲν ἂν εἴη σῶμα τοῦ ζῴου. οὐδὲ δὴ γήϊνον. πάντων γὰρ ἡ ἁφὴ τῶν ἁπτῶν ἐστιν ὥσπερ μεσότης, καὶ δεκτικὸν τὸ αἰσθητήριον οὐ μόνον ὅσαι διαφοραὶ γῆς εἰσίν, ἀλλὰ καὶ θερμοῦ καὶ ψυχροῦ καὶ τῶν ἄλλων ἁπτῶν ἁπάντων. καὶ διὰ τοῦτο τοῖς ὀστοῖς καὶ ταῖς θριξὶ καὶ τοῖς τοιούτοις μορίοις οὐκ αἰσθανόμεθα, ὅτι γῆς ἐστίν. καὶ τὰ φυτὰ διὰ τοῦτο οὐδεμίαν ἔχει αἴσθησιν, ὅτι γῆς 435b ἐστίν· ἄνευ δὲ ἁφῆς οὐδεμίαν οἷόν τε ἄλλην ὑπάρχειν, τοῦτο δὲ τὸ αἰσθητήριον οὐκ ἔστιν οὔτε γῆς οὔτε ἄλλου τῶν στοιχείων οὐδενός.

φανερὸν τοίνυν ὅτι ἀνάγκη μόνης ταύτης στερισκόμενα τῆς αἰσθήσεως τὰ ζῷα ἀποθνήσκειν· οὔτε γὰρ ταύτην ἔχειν οἷον τε μὴ ζῷον, οὔτε ζῷον ὂν ἄλλην ἔχειν ἀνάγκη πλὴν ταύτης. καὶ διὰ τοῦτο τὰ μὲν ἄλλα αἰσθητὰ ταῖς ὑπερβολαῖς οὐ διαφθείρει τὸ ζῷον, οἷον χρῶμα καὶ ψόφος καὶ ὀσμή, ἀλλὰ μόνον τὰ αἰσθητήρια, ἂν μὴ κατὰ συμβεβηκός, οἷον ἂν ἅμα τῷ ψόφῳ ὦσις γένηται καὶ πληγή, καὶ ὑπὸ ὁραμάτων καὶ ὀσμῆς ἕτερα κινεῖται, ἃ τῇ ἁφῇ φθείρει. καὶ ὁ χυμὸς δὲ ᾗ ἅμα συμβαίνει ἁπτικὸν εἶναι, ταύτῃ φθείρει. ἡ δὲ τῶν ἁπτῶν ὑπερβολή, οἷον θερμῶν καὶ ψυχρῶν καὶ σκληρῶν, ἀναιρεῖ τὸ ζῷον· παντὸς μὲν γὰρ ὑπερβολὴ αἰσθητοῦ ἀναιρεῖ τὸ αἰσθητήριον, ὥστε καὶ τὸ ἁπτὸν τὴν ἁφήν, ταύτῃ δὲ ὥρισται τὸ ζῆν·

17. ἁπτῶν W, τῶν ἁπτῶν y, αὐτῶν etiam Them. Simpl. ‖ 19. ἑτέρων L V ‖ 435b, 1. αἴσθησιν ἔχει L W ‖ 2. εἰσίν T V X ‖ ἄλλην οἷόν τε V W y, οἷόν τε ἄλλην etiam Soph. ‖ 6. οἷόν τε μὴ ζῷον ὂν ἔχειν W, οἷόν τε ἔχειν μὴ ζῷον ὂν y, οἷόν τε μὴ ζῷον ἔχειν αὐτὴν Soph. μὴ ἔχον οἷόν τε εἶναι ζῷον coni. Steinhart, οἷόν τε μὴ ἔχειν ζῷον coni. Hayduck, progr. Gryph. 7 ‖ ὂν ante ἄλλην om. S U V y Soph., ζῷον ὂν delendum esse censet Hayduck l. l. ‖ 7. ταύτην U X y et T (supra posito ς). ‖ 15. ὑπερβολὴ αἰσθητοῦ L W Them. Soph., αἰσθητικοῦ ὑπερβολὴ T U V, reliqui omnes αἰσθητοῦ ὑπερβολὴ ‖ 16. διώρισται S T U X, ὥρισται etiam Soph. ‖ ζῷον

ἄνευ γὰρ ἀφῆς δέδεικται ὅτι ἀδύνατον εἶναι ζῷον. διὸ ἡ τῶν ἁπτῶν ὑπερβολὴ οὐ μόνον τὸ αἰσθητήριον φθείρει, ἀλλὰ καὶ τὸ ζῷον, ὅτι ἀνάγκη μόνην ἔχειν ταύτην. τὰς δ' ἄλλας αἰσθήσεις ἔχει τὸ ζῷον, ὥσπερ εἴρηται, οὐ τοῦ εἶναι ἕνεκα ἀλλὰ τοῦ εὖ, οἷον ὄψιν, ἐπεὶ ἐν ἀέρι καὶ ὕδατι, ὅπως ὁρᾷ, ὅλως δ' ἐπεὶ ἐν διαφανεῖ, γεῦσιν δὲ διὰ τὸ ἡδὺ καὶ λυπηρόν, ἵνα αἰσθάνηται τὸ ἐν τροφῇ καὶ ἐπιθυμῇ καὶ κινῆται, ἀκοὴν δὲ ὅπως σημαίνηταί τι αὑτῷ, γλῶτταν δὲ ὅπως σημαίνῃ τι ἑτέρῳ.

TX, ζῆν etiam Soph. ‖ 22. δὲ διὰ] τε διὰ TVy Bek. Trend.; δὲ etiam Soph. Torst. ‖ 24. σημανῇ TUX, σημαίνῃ SVWy Soph. Bek. Trend., σημαίνηται (om. τι) L Torst., σημαίνηταί τι etiam sine dubio Them. et vet. transl. ‖ αὑτῷ restituit Torst., vulgo αὐτῷ ‖ γλῶτταν . . . ἑτέρῳ unc. incl. Torst., leg. Them. Philop. Soph. et vet. transl.

Codicis E fragmenta recensionis a vulgata diversae.

I.

lib. II, 412 a, 3—12. E. fol. 186 v°.

Ἐπεὶ δὲ τὰ παραδεδομένα περὶ ψυχῆς παρὰ τῶν ἄλλων, ἐφ' ὅσον ἕκαστος ἀπεφήνατο τῶν πρότερον, εἴρηται σχεδόν, νῦν ὥσπερ ἐξ ἀρχῆς πάλιν ἐπανίωμεν πειρώμενοι διορίσαι τί ἐστιν ἡ ψυχὴ καὶ τίς ἂν εἴη λόγος αὐτῆς κοινότατος· χωρίζομεν δὴ τὰς μὲν οὐσίας ἀπὸ τῶν ὄντων τῶν ἄλλων· τῆς δὲ οὐσίας τὸ μὲν ὡς ὕλην λέγεσθαι τίθεμεν, ὃ καθ' αὑτὸ ⟨μὲν οὐκ ἔστι τόδε τι, τὸ⟩ δὲ ἡ μορφή, τὸ δ' ἐκ τούτων. ἔστι δ' ἡ μὲν ὕλη δυνάμει, τὸ δ' εἶδος ἐντελέχεια, αὕτη δ' ὑπάρχει διχῶς, ἢ γὰρ ὡς ἡ ἐπιστήμη, ἢ ὡς τὸ θεωρεῖν, οὐσίαι δὲ μάλιστα δοκοῦσιν εἶναι τὰ σώματα καὶ τούτων τὰ φυσικά· ἀρχαὶ γὰρ ....

II.

lib. II, 414 b, 13—416 a, 9. E. fol. 1. r°.

Ὁ δὲ χυμὸς ὥσπερ ἥδυσμα τούτοις ἐστίν· διόπερ ὅσα ἔχει τῶν ζῴων ἀφήν, πᾶσιν ὑπάρχει καὶ ὄρεξις. περὶ δὲ φαντασίας ἄδηλον καὶ ὕστερον ἐπισκεπτέον. ἐνίοις δὲ ταῦτά τε ὑπάρχει καὶ τὸ κατὰ τόπον κινητικόν, τοῖς δ' ἔτι πρὸς τούτοις διάνοια καὶ νοῦς, οἷον ἀνθρώπῳ καὶ εἴ τι ἄλλο ζῷον ἕτερόν ἐστι τοιοῦτον ἢ καὶ τιμιώτερον. δῆλον οὖν ὡς ὁμοίως σχήματος καὶ ψυχῆς εἷς ἂν εἴη λόγος. οὔτε γὰρ ἐκεῖ σχῆμα παρὰ τρίγωνόν ἐστι καὶ τὰ ἐφεξῆς, οὔτ'

I. 7. μὲν οὐκ ἔστι τόδε τι, τὸ supplevit Torst.
II. 5. τούτοις καὶ E Bus. ‖ 8. παρὰ τὸ τρ. coni. Torst.

ἐνταῦθα ψυχὴ παρὰ τὰς εἰρημένας. γένοιτο δ' ἂν καὶ ἐπὶ τῶν σχημάτων λόγος, ὃς ἐφαρμόσει μὲν πᾶσιν, οὐκ ἔσται μέντοι ἴδιος οὐθενὸς σχήματος. ὁμοίως δὲ καὶ ἐπὶ ταῖς εἰρημέναις ψυχαῖς. διὸ γελοῖον ζητεῖν τὸν κοινὸν λόγον καὶ ἐπ' ἄλλων καὶ ἐπὶ τούτων, ὃς οὐκ ἔσται οὐθενὸς τῶν ὄντων ἴδιος, οὐδὲ κατὰ τὸ οἰκεῖον καὶ ἄτομον εἶδος, τὸν τοιοῦτον ἀφέντας. παραπλησίως δὲ ὥσπερ καὶ ἐπὶ τῶν σχημάτων, ἔχει καὶ τὰ περὶ τὴν ψυχήν· ἀεὶ γὰρ ἐν τῷ ἐφεξῆς ὑπάρχει δυνάμει τὸ πρότερον ἐπί τε τῶν σχημάτων καὶ ἐπὶ τῶν ἐμψύχων, λέγω δ' ὥσπερ ἐν τετραγώνῳ μὲν τρίγωνον, ἐν αἰσθητικῷ δὲ τὸ θρεπτικόν. ὥστε καὶ καθ' ἕκαστον δεῖ ζητεῖν τίς ἡ ἑκάστου ψυχή, οἷον τίς φυτοῦ καὶ τίς ἀνθρώπου καὶ τίς θηρίου. διὰ τίνα δ' αἰτίαν τῷ ἐφεξῆς οὕτως ἔχουσι, σκεπτέον. ἄνευ μὲν γὰρ τοῦ θρεπτικοῦ οὐθέν ἐστιν αἰσθητικόν· τοῦ δ' αἰσθητικοῦ χωρίζεται τὸ θρεπτικόν, οἷον ἐν τοῖς φυτοῖς. πάλιν δ' ἄνευ τοῦ ἁπτικοῦ οὐδεμία τῶν ἄλλων αἰσθήσεων, ἁφὴ δ' ἄνευ τῶν ἄλλων ὑπάρχει· πολλὰ γάρ ἐστι τῶν ζῴων, ἃ οὔτ' ὄψιν ἔχει οὔτ' ἀκοήν. καὶ τῶν αἰσθητικῶν δὲ κίνησις τοῖς μὲν ὑπάρχει τοῖς δ' οὐχ ὑπάρχει· τελευταῖον δὲ διάνοια καὶ λογισμός· οἷς μὲν γὰρ ὑπάρχει λογισμός, καὶ τῶν ἄλλων ἕκαστον τῶν εἰρημένων, οἷς δ' ἐκείνων ἕκαστον, οὐ πᾶσιν ὑπάρχει λογισμός. ἀλλὰ τὰ μὲν οὐδὲ φαντασίαν ἔχει μόνον. ὅτι μὲν οὖν ὁ περὶ τούτων ἑκάστου λόγος οἰκειότατος περὶ ψυχῆς ἐστι, δῆλον.

IV. Ἀνάγκη δὲ τὸν περὶ τούτων μέλλοντα πραγματεύεσθαι λαβεῖν τί ἕκαστον αὐτῶν ἐστιν, εἶθ' οὕτω περὶ τῶν ἐχομένων καὶ τῶν ἄλλων ποιεῖσθαι τὴν ἐπίσκεψιν. εἰ δὲ δεῖ λέγειν τί ἕκαστον, οἷον τί τὸ νοητικὸν ἢ τί τὸ αἰσθητικὸν ἢ θρεπτικόν, πρότερον λεκτέον τί τὸ νοεῖν καὶ τί τὸ αἰσθάνεσθαι· αἱ γὰρ πράξεις καὶ αἱ ἐνέργειαι πρότεραι κατὰ τὸν λόγον εἰσὶ τῶν δυνάμεων. ἀλλὰ μὴν εἴ γε ταῦτα πρότερον ἔτι τούτων διοριστέον τὰ ἀντικείμενα, οἷον περὶ τροφῆς καὶ αἰ-

10. μὲν om. E || 20. 21. τὸ ἐφ. E.

σθητοῦ καὶ νοητοῦ διὰ τὴν αὐτὴν αἰτίαν. ὥστε πρῶτον περὶ τροφῆς καὶ γεννήσεως λεκτέον· αὕτη γὰρ ἡ ψυχὴ καὶ τοῖς ἄλλοις ὑπάρχει, πρώτη δὲ καὶ κοινοτάτη ψυχῆς ἐστὶ δύναμις, καθ' ἣν ὑπάρχει τὸ ζῆν πᾶσιν. ἧς ἔργον ἐστὶ γέννησις καὶ τὸ χρῆσθαι τροφῇ· τοῦτο γὰρ ἔργον μάλιστα φυσικὸν πᾶσι τοῖς ζῶσιν, ὅσα μὴ ἀτελῆ ἢ πηρώματά ἐστιν, ἢ αὐτόματον ἔχει τὴν γένεσιν, τὸ ποιῆσαι οἷον αὐτὸ ἕτερον, ζῷον μὲν ζῷα, φυτὸν δὲ φυτά, ἵνα τοῦ ἀεὶ καὶ τοῦ θείου μετέχῃ ἕκαστον ὃν δύναται τρόπον· πάντα γὰρ ἐκείνου ὀρέγεται, κἀκείνου ἕνεκα πράττει ὅσα πράττει κατὰ φύσιν. τὸ γὰρ οὗ ἕνεκα διττόν, τὸ μὲν οὗ, τὸ δὲ ᾧ· ἐπεὶ οὖν οὐ τῇ συνεχείᾳ τοῦ ἀεὶ καὶ τοῦ θείου δύναται κοινωνεῖν· οὐ γὰρ ἐνδέχεται τὸ αὐτὸ ἀεὶ ἀριθμῷ εἶναι οὐθὲν τῶν φθαρτῶν· ὃν τρόπον ἐπιβάλλει, τοῦτον ἕκαστον θιγγάνει, τὸ μὲν μᾶλλον, τὸ δὲ ἧττον· καὶ διαμένει οὐκ αὐτό, ἀλλ' οἷον αὐτὸ, ἀριθμῷ μὲν οὐχ ἕν, εἴδει δ' ἕν. ἔστι δ' ἡ ψυχὴ ἀρχὴ τοῦ ζῶντος σώματος, ἀλλ' ἡ ἀρχὴ καὶ τὸ αἴτιον λέγεται πολλαχῶς. ὁμοίως δ' ἡ ψυχὴ τοὺς τρεῖς τρόπους αἰτία τοὺς διωρισμένους· καὶ γὰρ ὅθεν ἡ κίνησις καὶ οὗ ἕνεκα καὶ ὡς οὐσία τῶν ἐμψύχων σωμάτων ἐστὶν ἡ ψυχή. ὅτι μὲν οὖν ὡς οὐσία δῆλον· τοῦ γὰρ εἶναι ἡ οὐσία αἴτιον πᾶσι, τὸ δὲ ζῆν τοῖς ζῶσι τὸ εἶναί ἐστιν, αἴτιον δὲ καὶ ἀρχὴ ἡ ψυχὴ τούτου ἐστίν. φανερὸν δὲ καὶ ὡς τὸ οὗ ἕνεκα ἡ ψυχή· καὶ γὰρ ἡ φύσις ἕνεκά του ποιεῖ ὥσπερ ὁ νοῦς, καὶ τοῦτ' ἔστιν αὐτῆς τὸ τέλος. καὶ ἡ ψυχὴ τοιοῦτον ἐν τοῖς κατὰ φύσιν, καὶ πᾶν τὸ σῶμα ὄργανον τῇ ψυχῇ· ὥσπερ δὲ τὸ τῶν ζῴων, καὶ τὸ τῶν φυτῶν. ἀλλὰ μὴν καὶ ὅθεν ἡ κίνησις πρῶτον ἡ κατὰ τόπον, τοῦτό ἐστι ψυχή· ἀλλ' οὐ πᾶσι τοῖς ζῴοις ἡ τοιαύτη ὑπάρχει δύναμις. ἔτι δ' ἀλλοίωσις καὶ αὔξησις κατὰ ψυχήν· ἡ μὲν γὰρ αἴσθησις δοκεῖ τις ἀλλοίωσις εἶναι, μὴ ἔχον δὲ ψυχὴν οὐθὲν ἂν αἴσθοιτο. ὁμοίως δὲ καὶ

42. πρώτη καὶ κοινοτάτη ψυχῆς δ' ἐστὶ E ‖ 50. οὖν et ουτη incerta Torst., γοῦν οὐκέτι (? semideletum) Bus. ‖ 56. ὅμως E ‖ 65. ἡ ante κίνησις om. E.

περὶ αὐξήσεως καὶ φθίσεως ἔχει· οὐθὲν γὰρ αὐξάνεται οὐδὲ φθίνει φυσικῶς μὴ τρεφόμενον, οὐδὲ τρέφεται μὴ ζωῆς μετέχον. ἀλλὰ τοῦτο Ἐμπεδοκλῆς οὐκ εἴρηκεν ὀρθῶς, προστιθεὶς τὴν αὔξησιν συμβαίνειν τοῖς φυτοῖς κάτω μὲν διὰ τὸ τὴν γῆν φύσει οὕτω φέρεσθαι, ἄνω δὲ διὰ τὸ πῦρ. οὔτε γὰρ τὸ κάτω καὶ ἄνω λαμβάνει ὀρθῶς· οὐ γὰρ τὸ αὐτὸ ἑκάστου τὸ ἄνω καὶ τὸ κάτω καὶ τοῦ παντός· ἀλλ' ὡς ἡ κεφαλὴ τῶν ζῴων, οὕτως ἡ ῥίζα τῶν φυτῶν ἐστιν· τὸ δὲ αὐτὸ δεῖ λέγειν ὄργανον, ὧν ἂν ᾖ τὸ αὐτὸ ἔργον. ἔτι δὲ τί τὸ συνέχον εἰς τἀναντία φερομένων; τοῦτο γὰρ αἴτιον τὸ τῆς αὐξήσεως καὶ τροφῆς· εἰ δὲ μή, οὐθὲν κωλύσει δι — —.

III.

lib. II, 421 a, 5—422 a, 23. E. fol. II, r°.

ὅτι οὐ δέχονται τὸν ἀέρα οὐδ' ἀναπνέουσιν· δι' ἣν δ' αἰτίαν ἕτερος ἔσται περὶ αὐτῶν λόγος. Περὶ δὲ ὀσμῆς καὶ τοῦ ὀσφραντοῦ οὐκ ἔστι ῥάδιον διορίσαι ὁμοίως τοῖς εἰρημένοις αἰσθητοῖς, τί ἐστιν ἡ ὀσμὴ οὕτως ὡς ὁ ψόφος καὶ τὸ φῶς, αἴτιον δ' ὅτι οὐκ ἔχομεν ἀκριβῆ ταύτην τὴν αἴσθησιν, ἀλλὰ χείριστα ὀσμᾶται ἄνθρωπος τῶν ζῴων, καὶ οὐδεμίαν ἄνευ τοῦ λυπηροῦ καὶ ἡδέος δύναται αἰσθέσθαι ὀσμήν, ὡς τοῦ αἰσθητηρίου ὄντος οὐκ ἀκριβοῦς. ὥσπερ οὖν τοῖς σκληροφθάλμοις ἀδήλους εἰκὸς εἶναι τὰς διαφορὰς τῶν χρωμάτων καὶ συγκεχυμένας, ἀλλὰ τῷ φοβερῷ καὶ τῷ ἀφόβῳ διορίζειν μόνον, οὕτω καὶ τὰ περὶ τὰς ὀσμὰς τοῖς ἀνθρώποις, ἐπεὶ ἔοικέ τε ἀνάλογον ἔχειν πρὸς γεῦσιν καὶ ὅμοια τὰ εἴδη τῶν χυμῶν τοῖς τῆς ὀσμῆς, ἀλλὰ τὴν γεῦσιν ἔχομεν ἀκριβεστέραν διὰ τὸ εἶναι ἁφήν τινα αὐτήν· ταύτην δ' ἔχει τὴν αἴσθησιν ἀκριβεστάτην ἄνθρωπος· ἐν μὲν γὰρ ταῖς ἄλλαις λείπεται πολλῶν ζῴων, τῶν δ' ἁπτῶν αἰσθάνεται μάλιστα

III. 14. *ταύτην* om. E

ἀκριβῶς. διὸ καὶ φρονιμώτατον τῶν ζῴων ἐστίν. σημεῖον δέ· καὶ γὰρ αὐτῶν τῶν ἀνθρώπων εὐφυεῖς, οἱ δ' ἀφυεῖς εἰσὶ παρ' οὐδὲν αἰσθητήριον ἕτερον ἀλλὰ παρὰ τοῦτο. ὧν μὲν γὰρ ἡ σάρξ μαλακή, εὐφυεῖς, οἱ δὲ σκληρόσαρκοι ἀφυεῖς τὴν διάνοιαν. ἔστι δ' ὥσπερ χυμὸς ὁ μὲν γλυκὺς ὁ δὲ πικρός, καὶ ὀσμαὶ τὸν αὐτὸν ἔχουσαι τρόπον. ἀλλὰ τὰ μὲν ἔχει τὴν ἀνάλογον ὀσμὴν καὶ χυμόν, τὰ δὲ τοὐναντίον. ὁμοίως δὲ καὶ δριμεῖα καὶ αὐστηρὰ καὶ ὀξεῖα καὶ λιπαρά ἐστιν ὀσμή. ἀλλ' ὥσπερ εἴρηται διὰ τὸ μὴ σφόδρα διαδήλους εἶναι τὰς ὀσμὰς ὥσπερ τοὺς χυμούς, ἀπὸ τούτων εἴληφε τὰ ὀνόματα καθ' ὁμοιότητα τῶν πραγμάτων· ἡ μὲν γλυκεῖα κρόκου καὶ μέλιτος, ἡ δὲ δριμεῖα θύμου καὶ τῶν τοιούτων· τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν ἄλλων. ἔστι δ' ὥσπερ καὶ ἡ ἀκοὴ καὶ ἑκάστη τῶν αἰσθήσεων τοῦ τε ἀκουστοῦ καὶ ἀνηκούστου καὶ ὁρατοῦ καὶ ἀοράτου, καὶ ἡ ὄσφρησις τοῦ ὀσφραντοῦ καὶ ἀνοσφράντου. ἀνόσφραντον δὲ τὸ μὲν παρὰ τὸ ὅλως ἀδύνατον ἔχειν ὀσμήν, τὸ δὲ μικρὰν ἔχον καὶ τὸ φαύλην, ὥσπερ τὸ ἄγευστον ὡσαύτως λέγεται. ἔστι δὲ καὶ ἡ ὄσφρησις διὰ τοῦ μεταξύ, οἷον ὕδατος καὶ ἀέρος· καὶ γὰρ τὰ ἔνυδρα φαίνεται αἰσθανόμενα ὀσμῆς, καὶ τὰ ἔναιμα καὶ ἄναιμα ὁμοίως, ὥσπερ καὶ τὰ ἐν τῷ ἀέρι· καὶ γὰρ τούτων ἔνια πόρρωθεν ἀπαντᾷ πρὸς τὴν τροφὴν αἰσθανόμενα τὴν ὀσμήν· διὸ καὶ ἔχει ἀπορίαν εἰ πάντα μὲν ὡσαύτως ὀσμᾶται, ὁ δ' ἄνθρωπος ἀναπνέων μέν, μὴ ἀναπνέων δὲ ἀλλ' ἢ κατέχων τὸ πνεῦμα ἢ ἐκπνέων οὐκ ὀσμᾶται, οὔτε πόρρω οὔτ' ἐγγύς, οὐδ' ἂν ἐπιθῇ τις εἰς τὸν μυκτῆρα ἐντός. καὶ τὸ μὲν ἐπ' αὐτῷ τῷ αἰσθητηρίῳ τιθέμενον ἀναίσθητον εἶναι κοινὸν πάντων· ἀλλὰ τὸ ἄνευ τοῦ ἀναπνεῖν μὴ αἰσθάνεσθαι ἴδιον ἐπὶ τῶν ἀνθρώπων ἐστίν· τοῦτο δὲ πειρωμένῳ δῆλον. εἰ οὖν τὰ ἄναιμα μὴ ἀναπνεῖ, ἑτέραν ἄν τινα ἔχοι

19. τοῦτο] ταύτην E ‖ 20. ἡ σάρξ E Bus., ἡ om. E Torst. ‖ 26. ἀπό τε E ‖ 27. καὶ ὁμοιότητα E ‖ 40. μὲν om. E.

αἴσθησιν παρὰ τὰς λεγομένας. ἀλλ' εἴπερ τῆς ὀσμῆς αἰσθάνεται ἀδύνατον· ἡ γὰρ τοῦ ὀσφραντοῦ καὶ εὐώδους καὶ δυσώδους αἴσθησις ὄσφρησίς ἐστιν. φαίνεται δὲ καὶ φθειρόμενα ὑπὸ τῶν ἰσχυρῶν ὀσμῶν ὑφ' ὧνπερ καὶ ἄνθρωπος, οἷον ἀσφάλτου καὶ θείου καὶ τῶν τοιούτων. ὀσφραίνεσθαι μέντοι νῦν ἀναγκαῖον, ἀλλ' οὐκ ἀναπνεῖν. ἀλλ' ἔοικε διαφέρειν τὸ αἰσθητήριον τοῦτο τοῖς ἀνθρώποις πρὸς τὸ τῶν ἄλλων ζῴων, ὥσπερ καὶ τὰ ὄμματα πρὸς τὰ τῶν σκληροφθάλμων· τὰ μὲν γὰρ ἔχει πῶμα καὶ ὥσπερ ἔλυτρον τὰς βλεφαρίδας, ἃς ἂν μὴ ἀνασπάσῃ καὶ κινήσῃ, οὐχ ὁρᾷ· τὰ δὲ σκληρόφθαλμα οὐκ ἔχει, ἀλλ' εὐθὺς ὁρᾷ, ὅτι ἂν τεθῇ ἐν τῷ διαφανεῖ· οὕτω καὶ τὸ ὀσφραντικὸν αἰσθητήριον τοῖς μὲν ἀκάλυφον εἶναι, ὥσπερ τὸ ὄμμα, τοῖς δὲ δεχομένοις τὸν ἀέρα ἔχειν ἐπικάλυμμα, ὃ ἀναπνεόντων ἀποκαλύπτεσθαι, διευρυνομένων τῶν φλεβῶν καὶ τῶν πόρων. καὶ διὰ τοῦτο τὰ ἀναπνέοντα ἐν τῷ ὑγρῷ οὐκ ὀσμᾶται, ὅτι ἀνάγκη ἀναπνεύσαντα ὀσφρανθῆναι, ἐν δὲ τῷ ὑγρῷ ἀδύνατον τοῦτο ποιεῖν. ἔστι δ' ἡ ὀσμὴ τοῦ ξηροῦ ὥσπερ ὁ χυμὸς τοῦ ὑγροῦ· τὸ δ' ὀσφραντικὸν αἰσθητήριον δυνάμει τοιοῦτον.

Τὸ δὲ γευστόν ἐστιν ἁπτόν τι καὶ τοῦτο αἴτιον τοῦ μὴ εἶναι αἰσθητὸν διὰ τοῦ μεταξὺ ἀλλοτρίου ὄντος σώματος· οὐδὲ γὰρ ἡ ἁφή. καὶ τὸ σῶμα, ἐν ᾧ ὁ χυμός, τὸ γευστόν, ἐν ὑγρῷ ὡς ὕλῃ· τοῦτο δ' ἁπτόν τι. διὸ κἂν εἰ ἐν ὕδατι εἴημεν, αἰσθανόμεθα ἐμβληθέντος γλυκέος, οὐ διὰ τοῦ μεταξὺ δὲ ἡμῖν ἡ αἴσθησις, ἀλλὰ τῷ μιχθῆναι τῷ ὑγρῷ, ὥσπερ ποτῷ· τὸ δὲ χρῶμα οὐχ οὕτως ὁρᾶται τῷ μίγνυσθαι οὐδὲ ταῖς ἀπορροίαις. ὡς μὲν οὖν τὸ μεταξὺ οὐθέν ἐστιν· ὡς δὲ χρῶμα τὸ ὁρατόν, οὕτω γευστὸν χυμός. οὐθὲν δὲ ποιεῖ αἴσθησιν χυμοῦ ἄνευ ὑγρότητος, ἀλλ' ἔχει ἐνεργείᾳ ἢ δυνάμει ὑγρότητα, οἷον τὸ ἁλμυρόν· τηκτόν τε γὰρ αὐτὸ καὶ συντηκτικὸν

62. ἀναπνεύσαντος E ‖ 63. τοῦτο om. E ‖ 64. τὸ αἰσθητήριον τὸ δυν. E ‖ 70. αἰσθανοίμεθ' ἂν coni. Torst. ‖ 74. τὸ γευστὸν coni. Torst.

τῆς γλώττης. ὥσπερ δὲ καὶ ἡ ὄψις ἐστὶ τοῦ τε ὁρατοῦ καὶ τοῦ ἀοράτου (ὁ γὰρ σκότος ἀόρατος, κρίνει δὲ καὶ τοῦτον ἡ ὄψις), ἔτι τοῦ λίαν λαμπροῦ (καὶ γὰρ τοῦτό πως ἀόρατον, ἄλλον τρόπον καὶ ὁ σκότος), ὁμοίως δὲ καὶ ἡ ἀκοὴ ψόφου τε καὶ σιγῆς, ὧν τὸ

IV.

lib. II, 423 b, 8—424 b, 18. E. fol. 196 r°.

εἴρηται πρότερον ὅτι καὶ δι' ὑμένος ἂν πάντων αἰσθανοίμεθα τῶν ἁπτῶν, κἂν εἰ λανθάνοι διείργων, ὁμοίως ἂν ἔχοιμεν ὥσπερ νῦν ἐν τῷ ὕδατι καὶ ἐν τῷ ἀέρι· δοκοῦμεν γὰρ αὐτῶν θιγγάνειν καὶ οὐθὲν εἶναι διὰ μέσου. ἀλλὰ διαφέρει τούτῳ τὰ ἁπτὰ τῶν ὁρατῶν καὶ ψοφητικῶν, ὅτι ἐκείνων αἰσθανόμεθα τῷ τὸ μεταξὺ ποιεῖν τι ἡμᾶς, τῶν δ' ἁπτῶν οὐχ ὑπὸ τοῦ μεταξὺ ἀλλ' ἅμα τῷ μεταξύ, ὥσπερ οἱ διὰ τῆς ἀσπίδος πληγέντες· οὐδὲ γὰρ ἡ ἀσπὶς πληγεῖσα ἐπάταξεν, ἀλλ' ἅμα ἀμφοῖν συνέβη πληγῆναι. ὅλως δ' ἔοικε καὶ ἡ σὰρξ καὶ ἡ γλῶττα, ὡς ὁ ἀὴρ καὶ τὸ ὕδωρ πρὸς τὴν ὄψιν καὶ τὴν ἀκοὴν καὶ ὄσφρησιν ἔχουσιν, οὕτως ἔχειν πρὸς τὸ αἰσθητήριον ὥσπερ ἐκείνων ἕκαστον. αὐτοῦ δὲ τοῦ αἰσθητηρίου ἁπτομένου οὔτ' ἐκεῖ οὔτ' ἐνταῦθα γένοιτ' ἂν αἴσθησις. οἷον εἴ τις τὸ σῶμα τὸ λευκὸν ἐπὶ τοῦ ὄμματος θείη τὸ ἔσχατον. ᾗ καὶ δῆλον ὅτι ἐντὸς τὸ τοῦ ἁπτοῦ αἰσθητικόν. οὕτω γὰρ ἂν συμβαίνοι ὅπερ ἐπὶ τῶν ἄλλων· ἐπιτιθεμένου γὰρ ἐπὶ τὸ αἰσθητήριον οὐκ αἰσθάνεται, ἐπὶ δὲ τὴν σάρκα ἐπιτιθεμένου αἰσθάνεται· ὥστε μεταξὺ ἄρα τοῦ ἁπτικοῦ ἡ σάρξ. ἁπταὶ μὲν οὖν εἰσὶν αἱ διαφοραὶ τοῦ σώματος ᾗ σῶμα· λέγω δὲ διαφοράς, αἳ τὰ στοιχεῖα διορίζουσι, θερμὸν καὶ ψυχρὸν καὶ ξηρὸν καὶ ὑγρόν, περὶ ὧν εἴρηται πρότερον ἐν τοῖς περὶ τῶν στοιχείων. τὸ δὲ αἰσθητήριον αὐτῶν τὸ ἁπτικόν, καὶ ἐν ᾧ ἡ καλουμένη ἁφὴ ὑπάρχει πρώτῳ, τὸ δυνάμει τοιοῦτόν ἐστι μόριον· τὸ γὰρ αἰσθάνεσθαι πάσχειν τί ἐστιν· ὥστε τὸ ποιοῦν οἷον αὐτὸ ἐνεργείᾳ,

IV. 8. *οὐδὲ*] *οὔτε* E ‖ 20. *αἷς* E ‖ 24. *οἷον* om. E.

τοιοῦτον ποιεῖ ἐκεῖνο τὸ δυνάμει ὄν. διὸ τοῦ ὁμοίως θερμοῦ ἢ ψυχροῦ ἢ σκληροῦ ἢ μαλακοῦ οὐκ αἰσθανόμεθα, ἀλλὰ τῶν ὑπερβολῶν, ὡς ἂν τῆς αἰσθήσεως οἷον μεσότητός τινος οὔσης τῆς ἐν τοῖς αἰσθητοῖς ἐναντιώσεως. καὶ διὰ τοῦτο κρίνει τὰ αἰσθητά. τὸ γὰρ μέσον κριτικόν· γίνεται γὰρ πρὸς ὁποτερονοῦν αὐτῶν θάτερον τῶν ἄκρων· καὶ δεῖ ὥσπερ τὸ μέλλον λευκοῦ αἰσθάνεσθαι ἢ μέλανος μηδέτερον εἶναι ἐνεργείᾳ, ἀλλὰ δυνάμει, οὕτω δὴ καὶ ἐπὶ τῶν ἄλλων καὶ ἐπὶ τῆς ἀφῆς μήτε θερμὸν μήτε ψυχρόν. ἔτι δ' ὥσπερ τοῦ τε ὁρατοῦ καὶ τοῦ ἀοράτου ἦν πως ἡ ὄψις, ὁμοίως δὲ καὶ αἱ ἄλλαι τῶν ἀντικειμένων, οὕτω καὶ ἡ ἀφὴ τοῦ ἁπτοῦ καὶ ἀνάπτου· ἄναπτον δὲ τό τε μικρὰν πάμπαν ἔχον διαφορὰν τῶν ἁπτῶν, οἷον πέπονθεν ὁ ἀήρ, καὶ αἱ ὑπερβολαὶ τῶν ἁπτῶν, ὥσπερ τὰ φθαρτικά. καθ' ἑκάστην μὲν οὖν αἴσθησιν εἴρηται ὡς ἐν τύπῳ εἰπεῖν.

Καθόλου δὲ περὶ πάσης αἰσθήσεως δεῖ λαβεῖν ὅτι ἡ μὲν αἴσθησίς ἐστι τὸ δεκτικὸν τῶν αἰσθητῶν ἄνευ τῆς ὕλης, οἷον ὁ κηρὸς τοῦ δακτυλίου ἄνευ τοῦ σιδήρου καὶ τοῦ χρυσοῦ δέχεται τὸ σημεῖον, λαμβάνει δὲ τὸ χαλκοῦν ἢ χρυσοῦν σημεῖον, ἀλλ' οὐχ ᾗ χαλκὸς ἢ χρυσός. ὁμοίως δὲ καὶ ἡ αἴσθησις ἑκάστη ὑπὸ τοῦ ἔχοντος χρῶμα ἢ ψόφον ἢ χυμὸν πάσχει, ἀλλ' οὐχ ᾗ ἕκαστον ἐκείνων λέγεται, ἀλλ' ᾗ τοιόνδε καὶ κατὰ τὸν λόγον. αἰσθητήριον δὲ πρῶτον, ἐν ᾧ ἡ τοιαύτη δύναμις. ἔστι μὲν οὖν τὸ αὐτό, τὸ δ' εἶναι ἕτερον· μέγεθος μὲν γὰρ ἄν τι εἴη τὸ αἰσθανόμενον· οὐ μέντοι τό γε αἰσθητικῷ εἶναι ἢ αἰσθήσει μεγέθει ἐστὶν εἶναι, ἀλλὰ λόγος τις καὶ δύναμις ἐκείνου. φανερὸν δ' ἐκ τούτων καὶ διὰ τί ποτε τῶν αἰσθητῶν αἱ ὑπερβολαὶ φθείρουσι τὰς αἰσθήσεις· ἂν γὰρ ᾖ ἡ κίνησις ἰσχυροτέρα τοῦ αἰσθητηρίου, λύεται ὁ λόγος, τοῦτο δ' ἦν αἴσθησις, ὥσπερανεὶ ἡ συμφω-

27. ὡς ἂν τοῦ αἰσθητηρίου τῆς αἰσθήσεως E || 29. κριτικόν· γίνεται γὰρ πρὸς om. E || 32. δὴ] δὲ E || 37. ἁπτῶν ἄναπτοι ὥσπερ E || 54. ἦν ἡ coni. Torst.

νία καὶ ὁ τόνος σφόδρα κρουομένων τῶν χορδῶν. καὶ διὰ τί ποτε τὰ φυτὰ οὐκ αἰσθάνεται, ἔχοντά τι μόριον ψυχικὸν καὶ πάσχοντα ὑπὸ τῶν ἁπτῶν· καὶ γὰρ ψύχεται καὶ θερμαίνεται· αἴτιον δὲ τὸ μὴ ἔχειν μεσότητα, μηδὲ τοιαύτην ἀρχήν, οἵαν τὰ εἴδη τῶν αἰσθητῶν δέχεσθαι, ἀλλὰ μετὰ τῆς ὕλης πάσχειν. ἀπορήσειε δ' ἄν τις, ἆρα πάθοι ἂν ὑπ' ὀσμῆς τὸ μὴ δυνάμενον ὀσφρανθῆναι, ἢ ὑπὸ χρώματος τὸ μὴ δυνάμενον ἰδεῖν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. εἰ δ' ἡ ὀσμὴ τὸ ὀσφραντόν, εἴ τι ποιεῖ, τὴν ὄσφρησιν ποιεῖ ὀσμή. ὥστε οὐθὲν πάσχειν τῶν ἀδυνάτων ὀσφρανθῆναι. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων· οὐδὲ τῶν δυνατῶν, ἀλλ' ᾗ αἰσθητικὸν ἕκαστον. ἅμα δὲ δῆλον καὶ οὕτως. οὔτε γὰρ ψόφος οὔτε τὸ φῶς καὶ σκότος οὔτε ἡ ὀσμὴ οὐθὲν ποιεῖ τὰ σώματα, ἀλλ' ἐν οἷς ἐστίν, οἷον ἀὴρ ὁ μετὰ τῆς βροντῆς διέστησε τὸ ξύλον. ἀλλὰ δὴ τὰ ἁπτὰ καὶ οἱ χυμοὶ ποιοῦσιν· εἰ γὰρ μή, ὑπὸ τίνος ἂν πάσχοι τὰ ἄψυχα ἢ ἀλλοιοῖτο; ἆρ' οὖν κἀκεῖνα ποιεῖ; ἢ οὐ πᾶν σῶμα παθητικὸν ὑπ' ὀσμῆς καὶ ψόφου· καὶ τὰ πάσχοντα ἀόριστα, καὶ οὐ μένει, οἷον ἀήρ· ὄζει γὰρ ὥς παθών τι. τί οὖν ἐστὶ τὸ ὀσμᾶσθαι παρὰ τὸ πάσχειν τι; ἢ τὸ μὲν ὀσμᾶσθαι καὶ αἰσθάνεσθαι, ὁ δ' ἀὴρ παθὼν τοῦτο ταχὺ αἰσθητὸς γίγνεται.

59. *οἷον* E ‖ 61. *ἢ* om. E ‖ 63. *ἡ ὀσμὴ* coni. Torst. ‖ 71. *ἢ* om. E ‖ 74. *καὶ*] *αι* E.

INDEX.